Βασία, Πόντῳ ἐκάλυψε, καὶ Θεῷ καλυφθεὶς· μετὰ τὴν γ'. ᾠδὴν, τὸ κοντάκιον καὶ οἶκον τῆς ἑορτῆς, καὶ τὰ καθίσματα τῶν Ἁγίων, καὶ νῦν τῆς ἑορτῆς, Σὺ, τῇ Σωτῆρος ἐρασθὴ· καὶ ἀναγινώσκεται τὸ Μαρτύριον τῇ ἁγίᾳ νεομάρτυρος Μανθὴλ τῇ Κρητὸς· ἐ πληρωθέντος ἡ τῆς τῶν οἴκων Β'. σάσεως ἀνάγνωσις· μετὰ δὲ τὴν ς'. πάντα τὰ τῶν Ἁγίων κοντάκια, καὶ οἴκους σὺν τοῖς Συναξαρίοις· καὶ ἀναγινώσκονται οἱ οἶκοι τῆς Γ'. σάσεως· μετὰ δὲ τὴν η'. ἡ καταβασία, καὶ οἱ οἶκοι τῆς Δ'. σάσεως· μεθ' ἣν ἐ σιχολογεῖται ἡ Τιμιωτέρα, ἀλλὰ ψάλλονται τὰ τροπάρια τῆς Θ'. ᾠδῆς, τῆς ἑορτῆς, καὶ τῶν Ἁγίων μετὰ τῶν Μεγαλυναρίων· καὶ ἡ Καταβασία· Ἐξαποστελάρια· τῆς ἑορτῆς τὸ α'. τὰ δύο τῶν Ἁγίων, καὶ νῦν τῆς ἑορτῆς τὸ β'. Εἰς τὰς Αἴνους, ἰσῶμεν στίχους η'. ἀπὸ τῶ στίχω Δόξα αὕτη ἔσαι· καὶ ψάλλομεν τῆς ἑορτῆς δ'. καὶ τῶν Ἁγίων δ'. μετὰ τῶν στίχων αὐτῶν· δόξα τῶν Ἁγίων, καὶ νῦν τῆς ἑορτῆς ὁ αὐτὸς Βασιλεῦ ἐράνιε· Δοξολογία μεγάλη, μεθ' ἣν τὸ α'. ἀπολυτίκιον τῶν Ἁγίων καὶ τῆς ἑορτῆς, καὶ Ἀπόλυσις· Ἐν ταῖς ὥραις, τροπάρια Ἐν μὲν τῇ α'. τῆς ἑορτῆς, δόξα τὸ α'. τῶν Ἁγίων, καὶ νῦν τὸ Θεοτ. τῆς ὥρας· Ἐν δὲ τῇ γ'. τῆς ἑορτῆς, δόξα τὸ β'. τῆ ἁγίᾳ Μανθὴλ, καὶ νῦν τὸ Θεοτ. τῆς ὥρας· ὁμοίως καὶ ἐπὶ τοῖς Κοντακίοις· οὕτως πιεῦμεν καὶ ἐν τοῖς λοιποῖς τῶν ὡρῶν· Ὁ Ἁγιασμὸς μετὰ τῶν γ'. Εὐχῶν· καὶ ἡ Λιτανεία· Εἰς τὴν Λειτεργίαν τὰ Τυπικὰ, καὶ εἰς τὸς Μακαρισμὸς ἀνὰ δ'. τῆς ἑορτῆς ἐκ τῆς γ'. ᾠδῆς, καὶ τῶν Ἁγίων ἐκ τῶν μετὰ τὸς Αἴνους· μετὰ δὲ τὴν Εἴσοδον τροπάρια, τῆς Ἑορτῆς, τῶν Ἁγίων τὰ δύο, τῆ ἁγίᾳ τῆς Μονῆς, τὰ δύο Κοντάκια τῶν Ἁγίων, καὶ τὸ Κοντάκιον τῆς Ἑορτῆς· καὶ μετὰ τὸ Τρισάγιον, Ἀποστολος καὶ ἀγγέλιον μόνον τῶν Ἁγίων· Κοινωνικὸν· Τὸ Πνεῦμά σε τὸ ἀγαθὸν· καὶ Εἰς μνημόσυνον αἰώνιον· ἡ Εὐλόγησις τῶν Κολύβων, ἐν ᾗ ψάλλονται τὰ δύο ἀπολυτίκια καὶ τὰ δύο κοντάκια τῶν Ἁγίων, καὶ ἡ τελεία Ἀπόλυσις·

Τυπικὸν Ε'.

Περὶ τῆς μνήμης τῶν Ἁγίων, εἰ τύχῃ τῇ Ε'. μετὰ τὴν Κυριακὴν τῆς Πεντηκοστῆς, καθ' ἣν ἐκ συνηθείας καὶ παραδόσεως ἑορτάζεται ἐν Μολδοβλαχίᾳ καὶ Σουζδάβᾳ ὁ ἅγιος μεγαλομάρτυς Ἰωάννης ὁ νέος· (τεῦθ' ὅπερ συμβαίνει ἀείποτε ὅταν τὸ ἅγιον Πάσχα φθάσῃ τῇ κε Ἀπριλλίου·)

Χρὴ

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ Μνήμη τῶν Α'γίων τῇ Ε'. μετὰ τὴν Κυριακὴν τῆς Πεντηκοστῆς, ψάλλομεν τὴν κυρίαν Α'κολουθίαν τῆς Πεντηκοστῆς, τῶν τριῶν ἁγίων Μαρτύρων, καὶ τῶ ἁγίῳ Ἰωάννῃ ἕτω· Τῇ δ'. ἑσπέρας, ἐν μὲν τῷ μικρῷ ἑσπερινῷ, ἰσῶμεν στίχους δ'. καὶ ψάλλομεν τῶν Α'γίων τὰ δ'. δόξα τῶν Α'γίων, καὶ νῦν τῆς ἑορτῆς ἦχος ὁ αὐτὸς Τριάδα ὁμοούσιον· Εἰς τὸν στίχον· στιχηρὰ τῶ ἁγίῳ Ἰωάννῃ γ'. δόξα τῶ αὐτῶ, καὶ νῦν τῆς ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον· Α'πολυτίκια τῶν γ'. Α'γίων, δόξα τῶ ἁγίῳ Ἰωάννῃ, καὶ νῦν τῆς ἑορτῆς, καὶ ἀπόλυσις· Ἐπισυναπτόμεν δὲ καὶ τὴν πρὸς τὸς Α'γίους Παράκλησιν, ἐν ᾗ καὶ τὸ Μεγαλυνάριον τῶ ἁγίῳ Ἰωάννῃ· Ζήτει μετὰ τὴν Παράκλησιν· Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ ἰσῶμεν στίχους η'· καὶ ψάλλομεν τῶν Α'γίων δ'. καὶ τῶ ἁγίῳ δ'. δόξα τῶν Α'γίων, καὶ νῦν τῆς ἑορτῆς ἦχος πλ. δ'. Λεῦτε λαοί· καὶ τὰ ἀναγνώσματα τῶν ἁγίων· Εἰς τὴν Λιτὴν· τὸ α'. στιχηρὸν τῶ ἁγίῳ τῆς Μονῆς, δ'. ἰδιόμελα τῶν Α'γίων, καὶ γ'. τῶ ἁγίῳ, δόξα τῶν Α'γίων, καὶ νῦν τῆς ἑορτῆς ἦχος πλ. δ'. Ὅτε τὸ Πνεῦμά σε· Εἰς τὸν στίχον, στιχηρὰ τῶν ἁγίων, δόξα τῶ ἁγίῳ, καὶ νῦν τῆς ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον· Εἰς τὴν εὐλόγησιν τῶν Α'ρτων ἀπολυτίκια τὸ α'. τῶν Α'γίων, δόξα τῶ ἁγίῳ Ἰωάννῃ, καὶ νῦν τῆς ἑορτῆς· καὶ τὰ λοιπὰ ὡς δεδήλωται· καὶ ἡ τῶ Μαρτυρικῶ Βίῳ τῶν ἁγίων Α'νάγνωσις, μεθ' ἣν ἐκβάλλεται ὁ Ε'πιτάφιος ψαλλομένων τῶν Ε'γκωμίων αὐτῶ καὶ Εὐλογηταρίων· ὧν πληρωθέντων πάλιν Α'νάγνωσις εἰς τὸ πρὸς τὸς ἁγίους Ε'γκώμιον εἰς στάσεις δύο· Ἐν τῷ ὀρθρῳ· μετὰ τὸ Θεὸς Κύριος τὰ τροπάρια τῆς Ε'ορτῆς ἅπαξ, τῶν ἁγίων τὸ α'. δόξα τῶ ἁγίῳ Ἰωάννῃ, καὶ νῦν πάλιν τῆς ἑορτῆς· μετὰ τὴν α'. στιχολογίαν καθίσματα τῶν Α'γίων τὸ α'. δόξα τῶ ἁγίῳ, καὶ νῦν τῆς ἑορτῆς Τὴν μεθέορτον πίστιν· καὶ Ἀνάγνωσις εἰς τὸ πρὸς τὸς ἁγίους λοιπὸν Ε'γκώμιον· καὶ μετὰ τὴν β'. ὁμοίως, καὶ νῦν τῆς ἑορτῆς, Τῆ τῶ Πνεύματος πηγῆ· Ὁ Πολυέλεος, καὶ τὰ καθίσματα ἐπίσης, καὶ νῦν τῆς ἑορτῆς Μετὰ τὴν ἔγερσιν χρισῶ· οἱ Αναβαθμοὶ τῶ δ'. ἦχῳ· προκείμενον καὶ Εὐαγγέλιον τῶν Α'γίων· ὁ Ν. δόξα Ταῖς τῶν Α'θλοφόρων, ἰδιόμελον τῶν ἁγίων· καὶ ἡ ἀνάγνωσις τῆς Α'. στάσεως τῶν οἴκων· οἱ Κανόνες τῆς ἑορτῆς οἱ δύο εἰς ε'. τῶν Α'γίων ὁ β'. κανὼν Τριάδος ὑπέρμαχοι, εἰς δ'. καὶ τῶ Ἁγίῳ εἰς δ'. Καταβασία Πάντω ἐκάλυψε, καὶ Θείω καλυφθεὶς· μετὰ τὴν γ'. ᾠδὴν κοντάκια καὶ οἶκος τῆς ἑορτῆς καὶ τῶ ἁγίῳ Ἰωάννῃ, καὶ καθίσματα τῶν ἁγίων τὸ α'. δόξα τῶ ἁγίῳ Ἰωάννῃ, καὶ νῦν τῆς ἑορτῆς Οἱ τῶ Σωτῆρος ἐρασταί· καὶ ἀναγινώσκονται τὰ Μαρτύρια τῶν ἁγίων Ἰωάννου τοῦ νέου, καὶ Μανουὴλ τῶ Κρητὸς· ὧν πληρωθέντων ἡ τῆς τῶν οἴκων Β'. στάσεως ἀνάγνωσις· μετὰ δὲ τὴν ε'. πάντα τὰ τῶν Α'γίων κοντάκια καὶ οἶκος σὺν τοῖς Συναξαρίοις· μεθ' ἃ καὶ τὸ τῇ αὐτῇ ἡμέρᾳ, καὶ τὰς Στίχους τῶ ἁγίῳ Ἰωάννῃ· καὶ ἀναγινώσκονται οἱ οἶκοι τῆς Γ'. στάσεως· μετὰ δὲ τὴν η'. ἡ καταβασία· καὶ οἱ οἶκοι τῆς Δ'. στάσεως· μεθ' ἣν ἐστιχολογεῖται ἡ Τιμιωτέρα, ἀλλὰ ψάλλομεν τὰ τροπάρια τῆς θ'. ᾠδῆς, τῆς ἑορτῆς ε'. τῶν Α'γίων δ'. σὺν τοῖς Μεγαλυναρίοις, καὶ τῶ Ἁγίῳ δ'. καὶ μετὰ τὴν Καταβασίαν Ἐξαποστειλάρια, τῆς ἑορτῆς τὸ α'. τῶν Α'γίων τὸ α'. δόξα τῶ Ἁγίῳ, καὶ νῦν τῆς ἑορτῆς τὸ β'. Εἰς τὸς Αἴνους ἰσῶμεν στίχους ιη'. καὶ ψάλλομεν τῶν Α'γίων δ'. καὶ τῶ Ἁγίῳ δ'. μετὰ τῶ εἰς τὸ δόξα Ἰδιομέλα σὺν τοῖς στίχοις αὐτῶ· δόξα τῶν Α'γίων, καὶ νῦν τῆς ἑορτῆς ὁ αὐτὸς Βασιλεῦ ἐράνιε· Δοξολογία μεγάλη, μεθ' ἣν τὸ α'. ἀπολυτίκιον τῶν Α'γίων, δόξα τῶ Ἁγίῳ, καὶ νῦν τῆς ἑορτῆς· καὶ Α'πόλυσις· Ἐν ταῖς ὥραις· τροπάρια Ἐν μὲν τῇ α'. τῆς ἑορτῆς, δόξα τὸ α'. τῶν Α'γίων, καὶ νῦν τὸ θεοτ. τῆς ὥρας· Ἐν δὲ τῇ γ'. πάλιν τῆς Ε'ορτῆς, δόξα τῶ Α'γίῳ Ἰωάννῃ, καὶ νῦν τὸ θεοτ. τῆς ὥρας· ὡσαύτως καὶ ἐπὶ τοῖς Κοντακίοις· σμικὸς ποιῆμεν καὶ ἐν ταῖς λοιπαῖς τῶν ὡρῶν· εἶτα ὁ Αγιασμὸς μετὰ τῶν γ'. Εὐχῶν, καὶ ἡ Λιτανεία· Εἰς τὴν Λειτουργίαν· τὰ τυπικὰ, καὶ οἱ Μακαρισμοὶ εἰς β'. δ'. τῆς ἑορτῆς ἐκ τῆς γ'. ᾠδῆς, δ'. τῶν Α'γίων ἐκ τῶν μετὰ τὸς Αἴνους· καὶ δ'. τῶ Ἁγίῳ ἐκ τῆς ε'. ᾠδῆς· μετὰ δὲ τὴν Εἴσοδον τροπάρια, τῆς Ε'ορτῆς, τῶν Α'γίων τὸ α'. τῶ ἁγίῳ Ἰωάννῃ, τῶ ἁγίῳ τῆς Μονῆς· Κοντάκια τῶν Α'γίων τὸ α'. δόξα τῶ ἁγίῳ, καὶ νῦν τὸ τῆς Ε'ορτῆς· καὶ μετὰ τὸ Τρισάγιον Αποστολοευαγγέλιον τῶν Α'γίων μόνον, Κοινωνικὸν· Τὸ Πνεῦμά σε τὸ ἀγαθὸν, καὶ Εἰς μνημόσυνον αἰώνιον· ἡ Εὐλόγησις τῶν Κολύβων, ἐν ᾗ ψάλλομεν τὰ δύο Α'πολυτίκια καὶ κοντάκια τῶν γ'. ἁγίων Μαρτύρων· καὶ ἡ παρὰ τῶ ἱερέως τελεία Α'πόλυσις.

[Περὶ τῶν Μαρτυρίων Ἰωάννου τοῦ νέου.]

[καὶ Μανουὴλ τῶ Κρητὸς.]

Τυπικὸν ς'.

Περὶ τῆς τῶ Α'καθίστου τῶν ἁγίων Μαρτύρων Α'κολουθίας·

Χρὴ εἰδέναι, ὅτι ὅτε ἂ γίνεται ἀγρυπνία, ψάλλομεν τὴν Α'κολουθίαν τῶ Α'καθίστου τῶν Α'γίων ἕτω· Τῇ ιβ'. ὥρᾳ τῆς Παραμονῆς ἑσπέρας κρεμόμενον πάντων τῶν συνακτηρίων κωδώνων εἰς τρεῖς στάσεις, καὶ συναχθέντων ἡμῶν ἐν τῇ Ε'κκλησίᾳ, καὶ Εὐλογήσαντος τῶ ἱερέως, ἀναγινώσκε-

ΒΙΒΛΙΟΘΗΚΗ ΑΛΕΞΑΝΔΡΕΙΟΣ ΓΕΩΡΓΙΟΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ὑώσκεται τὸ μικρὸν Ἀπόδειπνον ἄχρι τῆ Β'. Τρισαγίῳ, καὶ εὐθὺς ψάλλομεν τὸν ἐν τῷ ὄρθρῳ β'. κανόνα τῶν γ'. Ἁγίων, Τριάδος ὑπέρμαχοι, ἀρχόμενοι ἀπὸ τῶν Εἱρμῶν, Ἀνοίξω τὸ στόμα μου, ἃς καὶ δισσεύομεν· εἶθ' ἕτω ψάλλομεν καὶ τὴν γ'. ὠδὴν, καὶ πάλιν λέγομεν, ἐν τῷ τέλει αὐτῆς τὸν Εἱρμὸν διὰ τὴν μικρὰν αἴτησιν· μεθ' ἣν Ἐκφώνησις παρὰ τῆ ἱερέως, Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν· Ἅμα δὲ ὁ ὑποεκκλησιάρχης κράξει τὸν μέγαν συνακτήριον κώδωνα διὰ τὴν τῆς τῶν οἴκων ἀ. στάσεως ἀνάγνωσιν, ὃ γίνεται καὶ ἐπὶ ταῖς λοιπαῖς τρισὶ· καὶ εὐθὺς προευτρεπισθέντων κηρομανδαλίων καὶ τῆ ἀναλογίᾳ ἐνώπιον τῆς ἐπὶ τῆ προσκυνητάρι εἰκόνος τῶν Ἁγίων, ψάλλεται τὸ τροπάριον τῶν οἴκων, Η' τῶν τριῶν σεβασμῶ· παρ' ἑκατέρων τῶν χορῶν ἀρχομένῳ τῆ δεξιᾷ, ἃ ψαλλομένῳ ἀργῶς καὶ μετὰ μέλους, ὁ προεστὼς ἐνδεδυμένος ὢν τὴν ἱερατικὴν στολὴν, θυμιᾷ τὰς εἰκόνας καὶ τὰς χορὰς, διακόνων προπορευομένων δύο μετὰ λαμπάδων, καὶ εὐθὺς ἀσκεπὴς ὤν, ἀναγινώσκει ἀργῶς καὶ μεγαλοφώνως τὴν Α'. στάσιν τῶν οἴκων· Μετὰ αὐτὰς μετὰ τὰ Εὐλογητάρια τῶν Ἁγίων τῶν ἱεροδιακόνων παρ' ἑκατέρων τῶν μερῶν ἀπαύστως θυμιώντων, καὶ ἡμῶν πάντων ἐξερχομένων τῶν στασιδίων, ἀσκεπῶν ὄντων, καὶ εὐλαβεία ἀκροαζομένων· οἱ δὲ χοροὶ ψάλλουσι μετὰ μέλους τὸ Χαῖρε τριὰς πολύαθλε· καὶ τὸ Ἀλληλούϊα, ταῦτα τῆ ἱερέως ἅμα ἐκφωνοῦντος· μετὰ δὲ τὴν ταύτης συμπλήρωσιν ψάλλεται τὸ Κοντάκιον τῶν Οἴκων, Τῶν τῆ τυράννῳ· παρ' ἑκατέρων τῶν χορῶν, ἀρχομένῳ τῆ ἀριστερᾶ· ἀπαραλλάκτως ταῦτα γίνονται καὶ ἐπὶ τῆ ἀναγνώσει τῶν λοιπῶν στάσεων τῶν Οἴκων· εἶτα ψάλλομεν τὴν δ'. ε'. καὶ ς'. ὠδὴν ὡς εἴρηται· μεθ' ἣν πάλιν τὸν εἱρμὸν αὐτῆς· αἴτησις μικρὰ, καὶ μετὰ τὴν Ἐκφώνησιν Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης· εὐθὺς τὸ τροπάριον ἀργῶς Η' τῶν τριῶν, καὶ ἡ παρὰ τῆ β'. ἱερέως τῆς τῶν οἴκων Β'. στάσεως ἀνάγνωσις· μεθ' ἣν τὸ Κοντάκιον Τῶν τῆ τυράννῳ· ὧν πληρωθέντων ψάλλομεν τὴν ζ'. καὶ η'. ὠδὴν· μεθ' ἣν πάλιν τὸν εἱρμὸν αὐτῆς μετὰ τῆ Ἀνῶμεν εὐλογοῦμεν· εὐθὺς δ' αὖ τὸ τροπάριον Η' τῶν τριῶν· καὶ οἱ παρὰ τῆ γ'. ἱερέως οἶκοι τῆς Γ'. στάσεως· ἧς πληρωθείσης τὸ κοντάκιον· Τῶν τῆ τυράννῳ· καὶ ἅμα ὁ Διάκονος ἐκφωνήσας Τὴν θεοτόκον καὶ Μητέρα τῆ Φωτὸς· ἄρχεται θυμιᾶν· ἡμεῖς δὲ ψάλλομεν τὴν θ'. ὠδὴν μετὰ τῶν Μεγαλυναρίων τῶν Ἁγίων, μεθ' ἣν τὸν εἱρμὸν αὐτῆς· αἴτησις μικρὰ, καὶ ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσιν· εἶτα πάλιν τὸ Τροπάριον, καὶ ἀναγινώσκονται παρὰ τῆ δ'. ἱερέως οἱ τῆς Δ'. καὶ τελευταίας στάσεως ἐγκαταλειφθέντες Οἶκοι· μεθ' ἣν αὖ τὸ Κοντάκιον· εἶτα τὸ Τρισάγιον, καὶ πάλιν τὸ


Κου-

Κοντάκιον, τῶν οἴκων χῦμα· Κύριε ἐκέησον μ'. τὸ Ἐν παντὶ καιρῷ· καὶ ἡ Εὐχὴ τῆ Ἀσπίλε ἀμόλυντε, μετὰ τῆ Καὶ δὸς ἡμῖν Δέσποτα· καὶ τὰ λοιπὰ κατὰ τάξιν ὡς σύνηθες· Εἰς δὲ τὴν προσκύνησιν τῆς Μαρτυρικῆς Εἰκόνος ψάλλομεν τὰ ἐν τῷ τέλει τῆς τῶν Ἁγίων Παρακλήσεως εὑρισκόμενα Προσόμοια· Εἶθ' ἕτως ἐκβάλλομεν καὶ τὸν ἱερὸν Ἐπιτάφιον, ψάλλοντες ἅπασαν τὴν Ἀκολουθίαν αὐτῆ, κατὰ τὴν τῆ Α'. Τυπικῆ ἑρμηνείαν· Καὶ ἡ παρὰ τῆ ἱερέως τελεία Ἀπόλυσις.

Δίστιχον τῶν Τυπικῶν·

Ὁ ἀριθμὸς τῶν Τυπικῶν ὑπάρχει ἅπας ἕκτος,
Καὶ ὁδηγὸς σοὶ εὐμαρὴς καθίσταται κατ' ἔτος.

ΕΘΝΙΚΟΝ ΑΘΗΝΑΪΚΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΟΥ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΟἹ ἘΚ ΠΕΡΣΙΔΟΣ ΛΑΜΨΑΝΤΕΣ ΑὐΤΑΔΕΛΦΟΙ.



ΠΡΕΣΒΕΥΣΑΤΕ ΥΠΕΡ ΤΟΥ ΤΑΠΕΙΝΟΥ ΜΑΝΟΥΗΛ.

ΑΓΙΟΙ ΜΕΓΑΛΟΜΑΡΤΥΡΕΣ ΧΡΙΣΤΟΥ.

Καρδιογνῶστας μέσοντας Τρεῖς ἐν τῷ πόλῳ,
Ὑμνῶ τῷ πόθῳ τῷ τῆς καρδίας ὅλῳ.

Ὁ λαυρέντιος Ρέζζος, 1803.

ΜΗΝΙ Ἰ ΙΟΥΝΙΩ ΙΖ.

Ψάλλομεν τὴν Ἀκολουθίαν τῶν Ἁγίων καὶ Ἐνδόξων μεγάλων Μαρτύρων

ΜΑΝΟΥΗΛ, ΣΑΒΕΛ, ΚΑΙ ΙΣΜΑΗΛ.

Ἑσπέρας. Ἐν μὲν τῷ μικρῷ Ἑσπερινῷ, ἰσῶμεν στίχους ϛ΄. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Ἀήττητοι Μάρτυρες ζωὴν, ἀληθῆ ποθήσαντες, καὶ εἰς ἀεὶ διαμένουσαν, θάνατον ἄδικον, παρανόμῳ ψήφῳ, χαίροντες ὑπέστητε· καὶ νῦν μετὰ Μαρτύρων εὐφραίνεσθε· μεθ' ὧν πρεσβεύσατε, δωρηθῆναι τοῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Μητρὸς τὴν εὐσέβειαν σοφοὶ, εὐσεβῶς ποθήσαντες, τὴν πατρικὴν ἀπεβάλετε, πλάνην ἀντίθεον· τοῖς Εὐνοϊκῆ γὰρ, θεοφθόγγοις ῥήμασι, προφρόνως πειθαρχήσαντες Μακάριοι, χάριν ἐλήφατε, τὴν τῆ Πνεύματος καὶ ὤφθητε, ἐν σαδίῳ, Ἀμνοὶ ἐθελόθυτοι.

Κάρας ἐκτεμνόμενοι ἐχθρᾶ, κάραν συνετρίψατε, ὡραιοτάτοις ποσὶν ὑμῶν, γενναῖοι Μάρτυρες, ἁπλανεῖς ἀσέρες, ἱερεῖα ἔμψυχα, Ναῷ ἐπουρανίῳ κειμήλια, ἔνδοξε Μανυὴλ, πολυΐμνητε ὦ Ἰσμαὴλ, Σαβὲλ θῦμα, τῷ Χριστῷ εὐπρόσδεκτον.

Τρι-

Τρισάριθμοι Μάρτυρες σεβέως, ἀνταγωνισάμενοι, τοῖς ὠμοτάτως δικάζουσι, καὶ εἶδος ἔκαμον, τῶν κολασηρίων, πίσει ὑπομένοντες, τῆς ἄνω Βασιλείας ἐτύχετε· διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα ἦχος β΄.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἐν τῇ μνήμῃ σήμερον τῶν Ἀθλοφόρων ὦ Φιλέορτοι· δεῦτε εὐφημήσωμεν αὐτοὺς, μυσικῶς ἐγκωμιάζοντες· χαίροις Μανυὴλ ἔνδοξε, χαίροις Σαβὲλ ἀείμνηστε, χαίροις Ἰσμαὴλ τρισόλβιε, οἱ τὴν πλάνην τῶν εἰδώλων εἰς χάος βυθίσαντες, καὶ Χριστὸν τὸν Κύριον ἐν μέσῳ τῦ σταδίῳ τραννῶς κηρύξαντες· διὸ παμμακάριστοι καὶ πολύαθλοι, μὴ παύσητε πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν· Καὶ νῦν Θεοτοκίον·

Τὴν πᾶσαν ἐλπίδαμι· εἶτα τὸ, Φῶς ἱλαρὸν· Προκείμενον τῆς ἡμέρας· καὶ τὸ, Καταξίωσον· Εἰς τὸν στίχον· στιχ. προσόμοια· ἦχος β. Ὁ ικος τῦ Εὐφραθᾶ.

Ῥῦσαι παθῶν ψυχῆς, καὶ σώματος εὐχαῖς σε, Μανυὴλ τὸς ἐκ πόθε, τελῶντάς σε τὴν θείαν, καὶ μακαρίαν Ἄθλησιν· στιχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ.

Λύτρωσαι τῶν δεινῶν, τῶν νῦν παρενοχλόντων, τὴν ταπεινὴν ψυχήν με, ὡς ἄριστος προστάτης, Μαρτύρων ἐγκαλλώπισμα· στιχ. Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν.

Ὁ ος

Ὁ ος Φωτολαμπὴς, ὡς ἥλιος τῇ αὐγῇ, τῆς ἀπροσίτε Δόξης, ὑπάρχων Ἀθλοφόρε, τὰς ὑμνητάς σε φαίδρυνον. Δόξα ἦχος πλ. δ΄.

Δεῦτε φίλαθλοι τὴν τρισαυγῆ τῶν Μαρτύρων χορείαν, ἐν ᾠδαῖς καὶ ὕμνοις εὐφημήσωμεν, Μανυὴλ τὸ θεόφρονος, καὶ Σαβὲλ τὸ γενναιοτάτε, καὶ Ἰσμαὴλ τὸ τρισμάκαρος· ὅτι αἵματα ἔδωκαν, καὶ ὠνήσαντο τὴν αἰώνιον Ζωήν· διὸ καὶ καρτερικῶς ἀντέλεγον τῷ ἐφευρετῇ τῶν κακῶν· ὃ προκρίνομεν τὰ φθαρτὰ τῶν ἀφθάρτων· τὴν πίσιν ἣ συνετράφημεν ὀκ ἐξομοσόμεθα· τοῖς παρὰ σοὶ δαίμοσιν ὃ λατρεύσομεν· τὸν Κύριον ἡμῶν καὶ Θεὸν ὀκ ἐγκαταλείψομεν, τὸν ἀεὶ βοῶντα τοῖς πιστοῖς, ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ ζήσεται· Καὶ νῦν Θεοτοκίον, Δέσποινα πρόσδεξαι· Εἶτα τὸ, Νῦν ἀπολύεις· τὸ, Τρισάγιον.

Καὶ τὸ Ἀπολυτίκιον ἦχος δ΄.

Οἱ τῆς εὐσεβείας ὑπέρμαχοι, καὶ τῆς ἀσεβείας ἀντίπαλοι, Μανυὴλ θεόπνευσε, καὶ Ἰσμαὴλ θαυμάσιε, καὶ Σαβὲλ ἀξιάγασε, παῤῥησίᾳ τὸν Χριστὸν, Υἱὸν Θεῦ κηρύξαντες, τὸ αἷμα ὑμῶν ὑπὲρ αὐτῦ ἐξεχέατε· ὃν δυσωπῦντες μὴ παύσητε, τῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν· Δόξα, καὶ νῦν Θεοτοκίον·

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ σῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι᾽ ὃ ἀναστήσας

τὸν

ΠΑΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΘΕΟΛΟΓΙΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

τὸν πρωτόπλασον, ἔσωσεν ἐκ θανάτυ τὰς ψυχὰς ἡμῶν·

Καὶ γίνεται Ἀπόλυσις·

Ἐπισυνάπτομεν δὲ καὶ τὴν πρὸς τὰς Ἁγίας Παράκλησιν, εἰ ἔστιν Ἀγρυπνία, κατὰ τὴν τῆ Ἁ. Τυπικῆ ἑρμηνείαν· Ζήτει αὐτὴν μετὰ τὰς Εἰχὰς τῆ Ἁγιασμῆ.

ΕΝ ΔΕ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Μετὰ τὸν Προοιμιακὸν ψαλμὸν, καὶ Ἀνοιξαντάρια, ςιχολογεῖται τὸ, Μακάριος ἀνὴρ· τὸ Ἁ. ἀντίφωνον· εἰς δὲ τὸ, Κύριε ἐκέκραξα· ἰσῶμεν ςίχους ἡ. καὶ ψάλλομεν ςιχηρὰ Προσόμοια· ἦχος δ'. ὡς γενναῖον ἐν Μάρτυσι·

Μανηὴλ ὁ θαυμάσιος, ὁ Σαβὲλ ὁ μακάριος, Ἰσμαὴλ ὁ πάνσοφος μελῳδήμασιν, ἱερωτάτοις τιμάσθωσαν, Τριάδα τὴν Ἄκτιςον, ἐναντίον τῶν ἐχθρῶν, ἱερῶς προκηρύξαντες, καὶ πολύθεον, ἀποσβέσαντες πλάνην τῶν αἱμάτων, ταῖς προσχύσεσι καὶ δόξαν, ἀπειληφότες ἀμάραντον·

Τὴν μητρῴαν Εὐσέβειαν, παιδιόθεν ποθήσαντες, πατρικὴν ἀσέβειαν ἀπωθήσατε, Εὐνοϊκῆ τῆ παμμάκαρος, τὰ θεῖα διδάγματα, ἐμυήθητε σοφῶς, καὶ προθύμως ἐλάβετε, τὴν τῆ Πνεύματος, ἀναγέννησιν ὅθεν καὶ τυράννυ, τὰς ποινὰς μὴ πτοηθέντες, ἀνδρειοφρόνως ἠθλήσατε·

Βασιλέα παράνομον, παρανόμως προσάττοντα, ὑποκύπτειν σέβας τε, νέμειν ἄλογον, θεοῖς ἀψύχοις Μα-

Μακάριοι, ἐμφρόνως ἠσχύνατε, Μανηὴλ, καὶ Ἰσμαὴλ, καὶ Σαβὲλ. Μεγαλώνυμοι, καὶ ἀθλήσαντες, καρτερῶς καὶ νομίμως τὰς ςεφάνας, ἀνεπλέξασθε τῆς νίκης, ὑπὲρ τῆ κόσμυ πρεσβεύοντες·

Ὡς ἀςέρες πολύφωτοι, Ἀθλοφόροι Ἀυτάδελφοι, θείκαις λαμπρότησι καταυγάζετε, τῆς Οἰκυμένης τὰ πέρατα, δαιμόνων σκοτόμαναν, καὶ παθῶν Φθοροποιῶν, καὶ κινδύνων ἐξαίροντες· ὅθεν σήμερον, τὴν Φωδρὰν καὶ Φωσφόρον καὶ Ἁγίαν, συνελθόντες ἐκτελῦμεν, ὑμῶν πανήγυριν Ἔνδοξοι·

Ἕτερα προσόμοια τῆ Ἁγίυ Μανηὴλ· ἦχος ά.
Τῶν ἐρανίων Ταγμάτων·

Νῦν ἡ σεβάσμιος Μνήμη τῆς σῆς Ἀθλήσεως, ἡμᾶς συναγαγῦσα, εὐφημῆσαι προτρέπει, τὰ τρόπαια τὰς ἄθλας καὶ τὰς λαμπρὰς, ἀρισείας ἐν ἄσμασιν, ἐν τῇ παρύσῃ ἑσπέρᾳ καὶ τῇ νυκτὶ, Μανηὴλ ἀθλητικώτατε·

Λ'ποτμηθεὶς διὰ ξίφυς πάσας ἐξέτεμες, τὰς μηχανὰς τῆ πλάνυ, καὶ δολίυ βελίαρ, ὦ Μανηὴλ θεόφρον, διὸ τὰς πιςῶς, τὴν σὴν Μνήμην γεραίροντας, ἐῦσω παγίδων τῶν τότυ ταῖς πρὸς Θεὸν, εὐπροσδέκτοις ἱκεσίαις συ·

Ἐπὶ τῇ Μνήμῃ προθύμως δεῦτε συνέλθωμεν, Μανηὴλ τῆ γενναίυ, καὶ λαμπρῶς εὐφρανθῶμεν· αὐτὸς γὰρ ἑσιάτως ὑπάρχει ἡμῖν, τοῖς πιςῶς προσιὼ-

σιν αὐτῷ, καὶ τῶν δεινῶν ἀπαλλάττει ταῖς πρὸς Θεὸν, ἱκεσίαις αὐτῆ πάντοτε·

Τῶν ἀρανίων τὰ κάλλη ποθήσας Ἔνδοξε, ὡς τῷ Χριστῷ συνεῖναι μετ' Ἀγγέλων Ἁγίων, παντοίας τὰς βασάνους ὑπέσης γενναίως, Μανουὴλ ἀξιάγασε, καὶ μαρτυρήσας γενναίως ὑπὲρ Χριστῆ, συνευφραίνῃ τοῖς Συνάθλοις σου· Δόξα ἦχος πλ. β.

Σήμερον ἡ τρισαυγὴς τῶν Μαρτύρων ὁμήγυρις, ὡς σελασφόρων ἀστέρων συνέλευσις, τὰς πιστὰς σελαγίζουσα, πρὸς μυστικὴν εὐφροσύνην ἐκάλεσε· σήμερον γὰρ Μανουὴλ ὁ Ἔνδοξος, καὶ Σαβὲλ ὁ Ἀείμνηστος, καὶ Ἰσμαὴλ ὁ Τρισόλβιος, οἱ τῆ νοητῆ Ἡλίᾳ θεράποντες, καὶ τῶν ἀσεβῶν δογμάτων καθαιρέται, ἐκέρασαν πλήρη τὸν Ἀθλοφορικὸν αὐτῶν κρατῆρα, καὶ τοῖς διὰ Χριστὸν ἐκχυθεῖσιν αἵμασιν, ἑαυτὰς ἔστεψαν, ἡμᾶς προτρεπόμενοι τὰς Εὐσεβείας ἐρασάς· δεῦτε λέγοντες τὰς Ἁγῶνας ἡμῶν ἐσιάθητε, καὶ τὰς στεφάνους καὶ τὰ γέρα προσβλέψατε· ὁ γὰρ ὑπομείνας εἰς τέλος, ὅτος σωθήσεται, Χριστὸς ἡ Ἀλήθεια ἀπεφήνατο· ἵνα κοινωνοὶ γένησθε τῶν στεφάνων ἡμῶν, καὶ πρεσβευτὰς ἡμᾶς πρὸς Κύριον ἔχητε·

Καὶ νῦν Θεοτοκίον ὁ αὐτός·

Τίς μὴ μακαρίσειε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον Τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς Μονογενὴς, ὁ αὐτὸς ἐκ σῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς· φύσει

Θεὸς

Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος Ἄνθρωπος δι' ἡμᾶς· ὃν εἰς δυάδα Προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι Φύσεων ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε Σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν· Εἴσοδος· τὸ, Φῶς ἱλαρόν· Προκείμενον τῆς Ἡμέρας· καὶ τὰ Ἀναγνώσματα·

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα·

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ ἐπάτωσαν ἀληθῆ· γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ Παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται· ἐγὼ εἰμὶ ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων· ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; ὅτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ἡμᾶς ὁ ἅγιος Ἰσραήλ·

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα·

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐκ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ'

ἡμῶν

ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνη· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτὰς, καὶ εὗρεν αὐτὰς ἀξίους ἑαυτῆ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτὰς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτὰς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτῆ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτῆ·

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα·

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ Φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ

ἀπὸ εὐκύκλου τόξου τῶν νεφρῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ἰοφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτοὺς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου·

καὶ γίνεται ἡ συνήθης Ἐκτενὴς· καὶ τὸ Καταξίωσον· Εἰς τὴν Λιτὴν· ψάλλομεν στιχηρὰ, τῆ ἁγίᾳ τῆς Μονῆς τὸ α'· Εἶτα τὰ παρόντα Ἰδιόμελα. ἦχος α'.

Τῶν τυραννούντων τὰ θράση μὴ δειλιάσαντες, μᾶλλον δὲ τῆ Χριστῆ τὴν πίστιν τρανῶς κηρύξαντες, ἥλοις περονᾶσθε τὰς ἀσραγάλους, καὶ λαμπάσι πυρὸς τὰς μασχάλας καταφλέγεσθε, ἄλλας τε πολλὰς βασάνους ὑπεμείνατε, Μανουὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ ἀξιάγαστοι· διὸ πρεσβεύσατε τῷ Βασιλεῖ καὶ Θεῷ, ὑπὲρ τῶν πίστει ἐκτελούντων, τὴν μνήμην ὑμῶν τὴν σεβάσμιον· ὁ αὐτὸς·

Τὸν ἀριστέα τοῦ Χριστοῦ, Μανουὴλ τὸν ἀοίδιμον, συνελθόντες οἱ πιστοὶ ἐγκωμίοις μαρτυρικοῖς, καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν· ἄθλος γὰρ ὑπὲρ Χριστοῦ, ἀνδρικῶς καὶ νομίμως ἀθλήσας, ἀξίως τὸ τῆς νίκης βραβεῖον ἐδέξατο, καὶ νῦν ἐν οὐρανοῖς μετ' Ἀγγέλων,

χορεύων τὴν ἀκατάλυτον χορείαν, αἰτεῖται τῇ οἰκουμένῃ εἰρήνην, καὶ τὸ μέγα ἔλεος· ἦχος β.

Προφητικῶς τοῖς Ἁγίοις συνελθόντες οἱ πιστοὶ, τὸν Δαβιτικὸν ὕμνον ἀναβοήσωμεν· Γʹδὲ δὴ τὶ καλὸν ἢ τὶ τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτὸ· Φύσεως γὰρ ἀκολουθία καὶ πίστεως, τὰς ἀπειλὰς καὶ ποικίλας βασάνους, ὁμοφρόνως καὶ ἀνδρικῶς ὑπεδέξαντο· ὅθεν καὶ τὸν Σταυρὸν εὐαγγελικῶς ἐπ' ὤμων ἀράμενοι, πάντα τὰ φθαρτὰ ἐβδελύξαντο, καὶ Χριστῷ ἠκολούθησαν, Μανουὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ, οἱ καλλίνικοι Μάρτυρες· διὸ καὶ παῤῥησίαν πρὸς Θεὸν κεκτημένοι, πρεσβεύσουσιν αὐτῷ ὑπὲρ ἡμῶν, τοῦ καταπεμφθῆναι ἡμῖν τὸ μέγα ἔλεος·

ὁ αὐτὸς·

Εἰς τὰ ὑπερκόσμια σκηνώματα, τὸ Πνεῦμά σου Μανουὴλ μεγαλομάρτυς σοφὲ, Χριστὸς ὁ Θεὸς προσήκατο ἀμώμητον· σὺ γὰρ τῆς Τριάδος γέγονας ὑπέρμαχος, ἐν τῷ σταδίῳ ἀνδρείως ἐναθλήσας ὡς ἀδάμας στερρός· καθηλώμενος γὰρ τὴν κεφαλὴν, καὶ ἀμφότερα τὰ νῶτα, καὶ ἐν καλάμοις κατασφιγγόμενος, καὶ ὀξέσι κατακεντούμενος βέλεσιν, ἀκλινῶς τὰ πάντα ὑπήνεγκας, μιμούμενος τὸν ἐπὶ Ξύλου λογχευθέντα, εἰς σωτηρίαν παντὸς τοῦ κόσμου· διό σου σήμερον τὴν Κοίμησιν ἑορτάζοντες, ἐπαξίως δοξάζομεν, τὸν σὲ δοξάσαντα Κύριον· ἦχος γ.

Τῇ τῶν ἀσμάτων τερπνότητι, τὴν παροῦσαν φαιδρύνωμεν ἡμέραν, καὶ ἠχήσωμεν τὰ τῶν Μαρτύρων ἀγω-

νίσματα· πρόκεινται δὲ ἡμῖν εἰς εὐφημίαν, οἱ μέγιστοι τρεῖς Μάρτυρες· τὰς γὰρ τοῦ τυράννου ἐπιφορὰς ἀνδρείως ἐλόντες, πρὸς τὸ σάδιον προθύμως ἤλαντο· καὶ τὰ νικητήρια ἐνδόξως ἀπενεγκάμενοι, τὸν Σωτῆρα δυσωπῶσι, σωθῆναι τὰς ψυχὰς ἡμῶν· ὁ αὐτὸς·

Δεῦτε τῶν πιστῶν τὸ σύσημα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν, καὶ τὸν Ἀθλοφόρον Χριστοῦ τοῦ Θεοῦ, ἐν ὕμνοις τιμήσωμεν, Μανουὴλ τὸν ἔνδοξον· σήμερον γὰρ ὡς ἑωσφόρος ἀνέτειλε, καὶ καταφωτίζει τὰς διανοίας τῶν πιστῶν, τῶν ἐν πίστει καὶ πόθῳ, ἐπιτελούντων τὴν μνήμην αὐτοῦ τὴν σεβάσμιον·

Δόξα ἦχος πλ. αʹ.

Ἡ Ἐκκλησία σήμερον στολισαμένη διὰ τῶν ἄθλων σου, Μάρτυς τοῦ Χριστοῦ εὐφραίνεται, καὶ τὴν σὴν παγγέρασον μνήμην, κατ' ἀξίαν εὐφήμως κραυγάζει γεραίρουσα· χαίροις, ὁ τὸν Παῦλον ζηλώσας, καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἀράμενος, καὶ τὰς παγίδας συντρίψας τοῦ πολυπλόκου βελίαρ· χαίροις Μαρτύρων τὸ καύχημα, καὶ Βασιλέων κραταίωμα, Μανουὴλ πολύαθλε· ὑπὲρ ἡμῶν πρὸς Κύριον μὴ διαλείπῃς πρεσβεύων, ὡς παῤῥησίαν ἔχων, Ἀθλοφόρων ἐγκαλλώπισμα· καὶ νῦν θεοτοκίον ὁ αὐτὸς·

Μακαρίζομέν σε θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προσασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν· καὶ αἱ συνήθεις Εὐχαὶ·

Εἰς

Εἰς τὸν Στίχον· στιχηρὰ προσόμοια, ἦχος πλ. α.

Χαίροις ἀσυγκρίτων ἀληθῶς·

Χαίροις ἡ τῆς Τριάδος τριὰς, τῶν ἀρετῶν τὰ καθαρὰ καταγώγια, κρατῆρες τὸν θεῖον οἶνον, τῆς εὐσεβείας ἡμῶν, τὰς ψυχὰς εὐφραίνοντα οἱ προχέοντες· μαζοὶ οἱ τὸ γάλα, τῶν ἰαμάτων πηγάζοντες, ἄσπρα τὸ φέγγος, ἀληθείας πυρσεύοντα, καὶ τὰ πέρατα, φωταυγίας λαμπρύνοντα· Μάρτυρες Μεγαλώνυμοι, οἱ νύκτα μεισάντες, τῆς ἀγνωσίας πολλῶν τε, τὰς διανοίας φωτίσαντες, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος·

στίχος· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ·

Χαίροις ὦ Μανουὴλ θαυμασὲ, καὶ Ἰσμαὴλ τε καὶ Σαβὲλ Μεγαλώνυμοι, τὴν πλάνην πολυθεΐας, τῶν ἐμμανῶν ἀσεβῶν, ἐπιγνώσει θείᾳ κατασβέσαντες· οἱ ὧν οἱ θρησκεύοντες, παρανόμως τὰ εἴδωλα, ἐν Χαλκηδόνι, παντελῶς ἠμαυρώθησαν, καὶ κατήργηται τοῦ τυράννου τὸ πρόσαγμα· Μάρτυρες ἀεισέβαστοι, Τριάδος ὑπέρμαχοι, ἄρνες ὡραῖοι ὀφθέντες, τοῦ ἀληθοῦς Ἀρχιποίμενος, Χριστοῦ τοῦ τυθέντος, καὶ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος·

στίχος· Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάσωσεν ὁ Κύριος·

Πᾶσαν ἐπιφορὰν τῶν δεινῶν, ἀνδρειοτάτῳ λογισμῷ ὑπηνέγκατε, καὶ πᾶσι τοῖς ἀσεβέσι μὴ πειθαρχήσαντες σοφοὶ, πρὸς βασάνων πλέω πεῖραν ἤγεσθε· διὸ αἰκιζόμενοι, καὶ λαμπάσι φλεγόμενοι, καὶ ἀπανθρώ-

θρώπως, κεφαλὰς ἐκτεμνόμενοι, ὐκ ἐκάμφθητε, ἀ Θεὸν ἐξηρνήσασθε· ὅθεν προσαπηνέγκατε, τῆς νίκης τὸν στέφανον, καὶ ταῖς Μαρτύρων ἀγέλαις, περιφανῶς ἠριθμήθητε· μεθ' ὧν ἐξαιτεῖσθε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος· Δόξα ἦχος πλ. δ'.

Εἰλικρινῶς ποθήσαντές σε Λόγε Θεὲ, οἱ ἔνδοξοι Μάρτυρες, τὸ πυρσολατρεῖν ἐάσαντες, λιπόντες καὶ τὴν τῶν Χαλδαίων χθόνα, τῷ σῷ φωτὶ κατηυγάσθησαν· θωρακισθέντες δὲ ὅπλοις τῆς πίστεως, ἴσχυναν Γυλιανὸν τὸν τύραννον, Μανουὴλ ὁ ἔνδοξος, καὶ Σαβὲλ ὁ ἀείμνηστος, καὶ Ἰσμαὴλ ὁ τρισόλβιος, σὺν Πατρὶ καὶ τῷ Πνεύματι ὑμνοῦντές σε, καὶ πρεσβεύοντες τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν·

καὶ νῦν Θεοτοκίον ὁ αὐτός·

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκὶ, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παράκλησις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς·

Νῦν ἀπολύεις· τὸ Τρισάγιον·

καὶ τὸ Ἀπολυτίκιον ἦχος α.

Τὰς τρεῖς ἐνδόξους ἀσπίδας τοῦ νοητοῦ στερεώματος, τὰς ἐκ τῆς Περσίδος τὴν οἰκουμένην πᾶσαν καταγλαΐσαντας, τοὺς ἀθλητὰς καὶ κήρυκας τῆς Τριάδος, τοὺς τὴν θράκην πᾶσαν τῇ αὐγῇ τοῦ Μαρτυρίου καταπλήξαντας, Ἰσμαὴλ τὸν ἔνδοξον, Μανουὴλ τὸν ἀθλητικώτατον, σὺν Σαβὲλ τῷ τρισμακαρίῳ, καὶ

ΜΑΚΑΡΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΙΟΡΕΙΤΩΝ ΜΟΝΑΣΤΗΡΙΩΝ ΜΟΝΗ ΠΑΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ἀμφοτέροις συναθλήσαντι· πάντες οἱ τῶν ἄθλων αὐτῶν ἐρασαὶ, συνελθόντες ὕμνοις τιμήσωμεν· αὐτοὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύσι·

Δόξα τῆ ἁγίᾳ Μανηὴλ ὁ αὐτός·

Οὗτ' ἀπειλὰς τῆ τυράννῳ πτοηθεὶς Μανηὴλ πολύαθλε, ἔθ' ὑποσχέσεσιν αὐτῆ καμφθεὶς, τὰς μαρτυρικὰς ἀγῶνας κατέλιπες· ἀλλὰ γενναίως τὰς βασάνους ὑποσὰς, διήνυσας διὰ πυρὸς καὶ ἅματος, τῆ Μαρτυρίᾳ τὸ σάδιον· ὅθεν καὶ παῤῥησίαν ἔχων πρὸς Θεὸν, ὑπὲρ ἡμῶν ἱκέτευε, τῶν τελούντων σε τὴν μνήμην, τῆ σωθῆναι τὰς ψυχὰς ἡμῶν· Καὶ νῦν Θεοτ. ὁ αὐτός·

Τῆ Γαβριὴλ φθεγξαμένῳ σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ Φωνῇ ἐσαρκῶτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβὶδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βασάσασα τὸν Κτίσην σε· δόξα τῷ ἐνοικίσαντι ἐν σοὶ, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τῆ Τόκου σε·

Εἰ δὲ ἔσιν Ἀρτοκλασία, ψάλλομεν καὶ νῦν, Θεοτόκε παρθένε· ὡς ἤχον δ'. καὶ γίνεται ἡ συνήθης Εὐλογία τῶν Ἄρτων, ἐξ ὧν μεταλαμβάνομεν πάντες οἱ ἀδελφοὶ εἰς ἁγιασμὸν ψυχῆς καὶ σώματος· μετὰ δὲ τὸ, Ἐυλογία Κυρίε· ἐὰ ἔσιν Ἀγρυπνία, Λιτὴ πόλυσις ἐ γίνεται, ἀλλ' ἀμέσως ἀρχόμεθα ἀναγινώσκειν τὸν Μαρτυρικὸν Βίον τῶν Ἁγίων· τεθέντα μετὰ τὲς κδ'. αὐτῶν οἴκους· ἔ πληρωθέντος, ἐκβάλλεται ὁ ἱερὸς Ἐπιτάφιος· καὶ ψέλλομεν τὰ Τροπάρια αὐτῆ ἅπαντα· (ἅπερ ἐτέθησαν μετὰ τὰ ἰδιόμελα τῆ ἁγίᾳ ἑλαίᾳ·) κατὰ τὴν τῆ Λ'. Τυπικῆ ἑρμηνείαν· μετὰ δὲ ταῦτα πάλιν Ἀνάγνωσις εἰς τὸ πρὸ τὲς Ἁγίας Ἐγκώμιον· εἰς ἅσεις δύο· πρεσεθὶν μετὰ τὸν μαρτυρικὸν βίον τῶν Ἁγίων·

ΕΝ

ΕΝ ΤΩ ΟΡΘΡΩ·

μετὰ τὸν Ἑξάψαλμον· τὸ Θεὸς Κύριος, μετὰ τῶν ςίχων αὐτῆ· εἶτα τὰ Τροπάρια, Τὲς τρεῖς ἐνδόξες ἀσέρας· δοξα. Οὗτ' ἀπειλὰς τῆ τυράννῳ· καὶ νῦν. Τῆ Γαβριὴλ φθεγξαμένῳ· μετὰ δὲ τὴν α'. ςιχολογίαν καθίσματα, ἦχος α'.

Τὸν Τάφον σε Σωτὴρ·

Ἀθλήσαντες ςερρῶς, ὑπὲρ Πίςεως Θείας, ἐλάβετε λαμπρῶς, τῶν ἀγώνων τὰ γέρα, διὸ καὶ τὰ Πανένδοξα, ὑμῶν Θεῖα Σκηνώματα, πᾶσι πνέεσι, διηνεκῆ εὐωδίαν, καὶ παρέχεσι ψυχῶν ὁμῆ καὶ σωμάτων, ἰάσεις ἑκάςοτε· Δόξα·

Παράνομε κριτὰ, τί βραδύνεις ἐβόας, τὸ σῶμα τὸ θνητὸν, μεληδὸν κατατμῆσαι; ψυχὴν δὲ μὴ δυνάμενος, σὺ προσψαῦσαι τὸ σύνολον; τρεῖς γὰρ ἓν ἐσμὲν, ἓν τὸ αὐτὸ καὶ Φρονῦμεν, ὡς αὐτάδελφοι, κατά τε σάρκα καὶ πίςιν, Μανηὴλ ἀξιάγασε·

καὶ νῦν Θεοτοκίον·

Μαρία τὸ σεπτὸν, τῆ Δεσπότε δοχεῖον, ἀνάςησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προσασία, καὶ σῴζεις τὲς δέλας σε· Καὶ Ἀνάγνωσις εἰς τὸ πρὸς τὲς Ἁγίας λοιπὸν Ἐγκώμιον· μετὰ δὲ τὴν β'. ςιχολογίαν· Καθίσματα ἦχος δ'. Κατεπλάγη Ἰωσὴφ·

Κατε-

Κατεπλάγησάν ποτε, τῶν ἀνομώντων ὁ λαὸς, τὸ ἀνδρεῖον τῶν ψυχῶν, βλέποντες Μάρτυρες ὑμῶν, καὶ τῷ Κυρίῳ πιςεύοντες ἐκραύγαζον· Δόξα σοι Χριςὲ παντοδύναμε· σὺ γὰρ εἶ Θεὸς καὶ ὃν οἴδαμεν, ὁ ἐνεργῶν παράδοξα θαυμάσια, ἐν τοῖς Ἁγίοις σε Μάρτυσιν· ὧν ταῖς πρεσβείαις, Σωτὴρ τὸ κόσμε, φώτισον τὸς ὑμνῦντάς σε· Δόξα.

Κατεπλήττετο δεινῶς, ὁ παραβάτης Βασιλεὺς, πῶς ὑπέμενας σεβρῶς, τὴν ποικιλίαν τῶν ποινῶν, κατάςικτος τοῖς μώλωψι γεγενημένος· ὅθεν καὶ κενοῖς πειρᾶται ῥήμασι, καὶ λόγοις μανικοῖς ἀπατῆσαί σε· σὺ δὲ ἐν τότοις ὤφθης ἀπαράτρεπτος, Χριςὸν ποθήσας θεσπέσιε· Μαρτύρων δόξα, πιςῶν ὁ ῥύςης, Μανυὴλ ἀξιύμνητε· καὶ νῦν Θεοτοκίον·

Κατεπλάγησαν Ἄγγελοι, πᾶντες Ἀγγέλων οἱ χοροὶ, τὸ μυςήριον τῆς σῆς, κυοφορίας τὸ φρικτὸν, πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτὸς, ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ προαιώνιος, καὶ γαλαχεῖται σύμπασαν, ὁ τρέφων, πνοὴν ἀφάτῳ χρηςότητι; ᾧ σὲ ὡς ὄντως, Θεὸν Μητέρα εὐφημῦντες δοξάζομεν· Μετὰ τὸν Πολυέλεον, Καθίσματα·

Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον ἐν σῇ γαςρὶ.

Τῶν βασάνων τὰ νέφη τὰ χαλεπὰ, Ἀθληταὶ παριδόντες μαρτυρικῶς, ὡς ἥλιοι χάριτι, τῆ Σωτῆρος ἐλάμψατε· ἀδελφικῇ ςοργῇ δὲ, ἐνθέως συνδεθέντες, ἐφ' ὁμοίοις πόνοις, λαμπρῶς ἐδοξάσθητε· ὅθεν μετὰ

τὰ τέλος, ἀτελεύτητον χάριν, ἐξ ὕψες ἐδέξασθε, θεραπεύειν νοσήματα, Ἀθλοφόροι Ἀυτάδελφοι· πρεσβεύσατε Χριςῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζεσι πόθῳ, τὴν ἁγίαν Μνήμην ὑμῶν· Δόξα·

Βασιλεῖ τῶν αἰώνων εὐαρεςῶν, Βασιλέως ἀνόμε πᾶσαν βελὴν, ἐξέκλινας ἔνδοξε, καὶ γλυπτοῖς ἐκ ἐπέθυσας· διὰ τῦτο θῦμα, σαυτὸν προσενήνοχας, τῷ τυθέντι Λόγῳ, ἀθλήσας εὐσεβέςατα, ὅθεν τὰ βραβεῖα τῶν σῶν ἄθλων λαμβάνεις, τὰ πάθη ἰώμενος, τῶν πιςῶς προσιόντων σοι, Μανυὴλ παμμακάριςε· πρέσβευε Χριςῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζεσι πόθῳ, τὴν ἁγίαν Μνήμην σε.

Καὶ νῦν Θεοτοκίον·

Ἐνθυμᾶμαι τὴν κρίσιν καὶ δειλιῶ, ἔργα πράξας αἰσχύνης ὁ ἐυπαρὴς, ἄξια καὶ δέομαι, Θεοτόκε πανύμνητε, πρὸ τῦ τὰς πύλας φθάσαι, θανάτε ἐπίςρεψον, πρὸς τὴν τῆς μετανοίας, ὁδὸν ὁδηγῆσά με, ἵνα εὐχαρίςως προσκυνῶν ἀνυμνῶ σε, τὴν ἄμετρον δύναμιν, καὶ τὴν θέαν ἀντίληψιν, Παναγία Θεόνυμφε, πρεσβεύσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνῦσιν ἐν πίςει τὸν πανάγιον Τόκον σε·

Ἄτα οἱ Ἀναβαθμοὶ τὸ α'. Ἀντίφωνον τῆ δ'. Ἦχος· Προκείμενον ἦχος δ'.

Ῥδὲ δὴ τὶ καλὸν ἢ τὶ τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν

ΠΑΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΕΠΟΠΤΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ἀδελφὰς ἐπὶ τὸ αὐτό· Στίχος· Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τῦ αἰῶνος· τὸ Πᾶσα πνοή· Εὐαγγέλιον· Ἐκ τῦ κατὰ Λυκᾶν·

τὸ τῦ Ὄρθρυ τῦ ἁγίυ Γεωργί.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτῦ Μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξυσι παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακὰς, ἀγομένυς ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τῦ Ὀνόματός μυ· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον· θέσθε ἓν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν· παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ συγγενῶν, καὶ φίλων, καὶ ἀδελφῶν, καὶ θανατώσυσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισύμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μυ· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν· ὁ Ν. Δόξα Ταῖς τῶν Ἀθλοφόρων· καὶ νῦν Ταῖς τῆς θεοτόκυ· Εἶτα Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός συ·

Καὶ τὸ ἰδιόμελον ἦχος πλ. β'.

Σήμερον συγκαλεῖται ἡμᾶς τῇ Ἀθλοφόρῳ ἡ Γερὰ Πανήγυρις· δεῦτε οὖν φιλέορτοι, φαιδρῶς ἑορτάσωμεν, τὴν μνήμην αὐτῇ λέγοντες· χαίροις ὁ τὸν χιτῶνα τῆς ἀσεβείας διαῤῥήξας διὰ τῆς πίστεως, τὴν δὲ ἀνδρίαν τῦ Πνεύματος σεαυτῷ περιθέμενος· χαίροις ὁ καταργήσας τὰς ἐπινοίας τῦ παραβάτυ, τῇ ἰσχύϊ

ἰσχύϊ τῇ δοθείσῃ σοι παρὰ τῦ μόνυ Θεῦ· χαίροις ὁ λογχευθέντων τῶν μελῶν, τὸ μακάριον Πάθος πνευματικῶς ἡμῖν ἀναζωγραφήσας τῇ Χριστῷ· ὃν καθικέτευε Μανυὴλ, Ἀθητῶν ἐγκαλλώπισμα, λυτρωθῆναι ἡμᾶς ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν·

Σῶσον ὁ Θεὸς τὸν λαόν συ· τὸ Κύριε ἐλέησον ιβ'. Ἐλέει καὶ οἰκτιρμοῖς.

Εἶτα ἀναγινώσκονται οἱ Οἶκοι τῆς Ἀ. στάσεως, κατὰ τὴν τῦ α' Τυπικὴν Ἑρμηνείαν·

Ζήτει αὐτὸς μετὰ τὰ Εὐλογητάρια τῶν Ἁγίων.

Οἱ Κανόνες· τῆς θεοτόκυ εἰς ς'. καὶ ἕτεροι δύο τῶν Ἁγίων εἰς ή. Κανὼν α'. τῆς θεοτόκυ· ᾠδὴ α'. ἦχος α'. ὁ Εἱρμὸς δίς.

„Ὡδὴν ἐπινίκιον, ἄσωμεν πάντες, Θεῷ τῷ ποιήσαντι θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ „σώσαντι τὸν Ἰσραὴλ ὅτι δεδόξασται.

„Ὑπεραγία θεοτόκε σῶσον ἡμᾶς·

Ὡς μόνη τὸν Ἄχρονον, Υἱὸν ἐν χρόνῳ, τεκοῦσα σαρκούμενον, Παναγία Ἄχραντε, πάντα τὰ χρόνια τῆς παναθλίας μυ ψυχῆς, πάθη θεράπευσον·

Τὰ τραύματα πάναγνε, τὰ τῆς ψυχῆς μυ, καρδίας τὴν πώρωσιν, λογισμῶν τὴν σκότωσιν, καὶ νοὸς τὰς ἐκτροπὰς, ἀφάνισον ὡς συμπαθὴς, ταῖς σαῖς δεήσεσι·

Τὸ φῶς ἡ κυήσασα, τὸν λυτρωτήν μυ, τῷ σκότει με

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΔΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

με λύτρωσαι, καὶ βασάνων Ἄχραντε, τῶν αἰωνίων ἐκεῖ, ὅπως σωζόμενος ὑμνῶ, τὴν εὐσπλαγχνίαν συ.

Ὠδὴν κατανύξεως, τῇ Θεοτόκῳ, θερμῶς προσενέγκωμεν, ὦ ψυχή μυ τάλαινα, βεβηλωθεῖσα κακῶς, ἵνα ἐυσθῶμεν ἐκ πυρὸς, τῦ αἰωνίζοντος.

Ἕτερος Κανὼν β'. τῶν Ἁγίων ᾠδὴ α'. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μυ.

„Ἅγιοι Μάρτυρες τῦ Χριστῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τριάδος ὑπέρμαχοι, τῆς Παναγίας πανόλβιοι, συμφώνως ἐδείχθητε, προσκυνηταὶ τῆς σεπτῆς, καὶ παρίσασθε, τῷ θρόνῳ τῆς Τριάδος, θερμοὶ ἀντιλήπτορες τῶν προσερχόντων ὑμῖν.

Εἰρκτῇ ἀπαγόμενοι, τροπαιοφόροι Ἀυτάδελφοι, χαρᾷ συνεψάλλετε, τῷ Βασιλεῖ τῦ παντός. Δεῦτε λέγοντες, ἐξ ὅλης τῆς καρδίας, Θεῷ ἀλαλάξωμεν τῷ παντοκράτορι.

Σαβὲλ ὁ ἀείμνηστος, καὶ Ἰσμαὴλ ὁ θαυμάσιος, ἀξίως τιμάσθωσαν, σὺν τῷ σοφῷ Μανυὴλ, ὅτι ἤνεγκον, πολλάς τε καὶ παντοίας, βασάνυς καὶ θάνατον, οἱ ὑπερένδοξοι. Θεοτοκίον.

Σὺ μόνη Θεόνυμφε, τὸν ἐν Ὑψίστοις καθήμενον, ἀγκάλαις ἐβάσασας, σάρκα γενόμενον· σὺ γὰρ ὥρισαι, πρὸ πάντων τῶν αἰώνων, δοχεῖον ἐπάξιον, τῦ παντοκράτορος. Ἄλλος Κανὼν γ'. τῦ ἁγίυ Μανυὴλ· ᾠδὴ α'. ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ· „Ἅγιε Μάρτυς τῦ Χριστῦ πρέσβευε ὑπὲρ ἡμῶν. Τ

Ἄναρχε

Ἄναρχε Λόγε, Μανυὴλ τῦ μάρτυρος, ταῖς εὐπροσδέκτοις εὐχαῖς, τὸ νοερὸν σόμα, τῆς καρδίας ἄνοιξον, καὶ χάλη μυ τὰ ἔνυλε, ὅπως ᾄσμασι μέλψω, τὰς ἀρισείας τὰ τρόπαια, τάτυ καὶ λαμπρὰ κατορθώματα.

Γνῶσίν μοι θείαν, ἀρανόθεν Ἅγιε, δός μοι πρεσβείαις ταῖς σαῖς, ὅπως ἐπαξίως, πλέξωσι τὸν σέφανον, τοῖς ἐγκωμίοις ἄνθεσι, καὶ τῶν ὕμνων τρισμάκαρ, ὡς τῷ Φωτὶ ἐλλαμπόμενος, τῆς ἀπειροδόξυ θεότητος. Δόξα.

Ὁ παραβάτης τῷ θυμῷ νικώμενος, ἐπὶ τῇ σῇ Μανυὴλ, ἀνδρικῇ ἐνστάσει, καὶ μανεὶς ὁ δείλαιος, τὸ σὸν κελεύει Σκήνωμα, ἁλιθῆναι καλάμοις, καὶ ἀπηνῶς λόγχαις βάλλεσθαι, τὰς πλευρὰς τὰς σὰς γενναιότατε. καὶ νῦν Θεοτοκίον.

Ὡς Θεῦ Μήτηρ, παῤῥησίαν ἔχυσα, πρὸς τὸν τεχθέντα ἐκ σῦ, Μονογενῆ Λόγον, καὶ Πατρὶ συνάναρχον, καὶ συμφυῆ τῷ Πνεύματι, δυσωπῆσα μὴ παύσῃ, κινδύνων σῶσαι Πανάμωμε, τὰς σὲ Θεοτόκον δοξάζοντας. Καταβασία.

„Ἀνοίξω τὸ σόμα μυ, καὶ πληρωθήσεται πνεύμα„τος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρὶ· „καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γη„θόμενος, ταύτης τὰ θαύματα.

Ὠδὴ γ'. ὁ Εἱρμὸς δίς.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΙΟΝ ΟΡΗ ΠΑΠΑΣΤΡΑΤΟΣ

„Στερεωθήτω ἡ καρδία μυ, εἰς τὸ θέλημά συ Χρι-
„στὲ ὁ Θεὸς, ὁ ἐφ' ὑδάτων ὠρανὸν στερεώσας τὸ δεύ-
„τερον, καὶ ἑδράσας ἐν τοῖς ὕδασι, τὴν γῆν παντο-
„δύναμε.

Τῆς στειρευύσης διανοίας μυ, ἀκαρπίαν πᾶσαν ἀφάνισον, καὶ καρποφόρον ἀρετῶς, τὴν ψυχήν μυ ἀνάδειξον, Παναγία Θεοτόκε, τῶν πιστῶν ἡ βοήθεια.

Ῥῦσαί με πάσης περισάσεως, καὶ πολλῶν σκανδάλων τῦ ὄφεως, αἰωνιζύσης τε Φλογὸς, καὶ τῦ σκότυς Πανάμωμε, ἡ τὸ φῶς ἀποκυήσασα, ἡμῖν τὸ ἀνέσπερον.

Τὸ ἀπαραίτητον Κριτήριον, καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὴν ἀπόφασιν Ἁγνὴ, τὴν φρικτὴν ὅλως δέδοικα· σπεῦσον σῶσον πρὸ τῦ τέλυς, Ἀγαθὴ, τὸν οἰκέτην συ.

Θεογεννῆτορ Ἀπειρόγαμε, τὰς ἡμῶν δεήσεις προσάγαγε, τῷ Ποιητῇ συ καὶ Θεῷ, τῷ τεχθέντι ἐκ μήτρας συ, ὅπως εὕρωμεν τελείαν, τῶν δεινῶν ἀπολύτρωσιν. Ἕτερος· Τὰς σὰς ὑμνολόγυς Θεοτόκε·

Ὡς βότρυες θεῖοι γεγονότες, ἀμπέλυ τῆς θείας ἀληθῶς, ἀθλήσεως προχέυσιν, Οἶνον ἡμῖν οἱ Μάρτυρες, πνευματικῶς εὐφραίνοντα, τὰς διανοίας ἐν χάριτι·

Πατρὸς ἐβδελύχθητε θρησκείαν, μητρὸς δὲ τὴν ἔνθεον

ἔνθεον σοφῶς, εὐσέβειαν ποθήσαντες, τὴν θείαν ἀναγέννησιν, τῦ Πνεύματος ἐλάβετε, ὦ Ἀθλοφόροι Ἀυτάδελφοι·

Ἀχθέντες ἐνώπιον τυράννυ, ἐγνώσθητε τρεῖς θεοσεβεῖς, ὅθεν καὶ κατεφλέχθητε, σεῤῥῶς καὶ ὑπεμείνατε, πάσας βασάνυς Ἔνδοξοι, καὶ πολυύμνητοι Μάρτυρες· Θεοτοκίον·

Νόμυ προετύπυ ἡ σκηνή σε, γενήσεσθαι μέλλυσαν Ἁγνὴ, Θεῦ ἅγιον σκήνωμα, ἐν ᾧ ὁ ἱλασμὸς ἡμῶν, ἁγιασμὸν δωρύμενος, πᾶσιν ἡμῖν ἐπελεύσεται·

Ἄλλος· Ὁ σεσωσμένος κατ' ἀρχάς·

Νενεκρωμένῳ διὰ σὲ, πεπιστευκὼς τῷ Δεσπότῃ, θαῤῥαλέως τῷ θανάτῳ προσρέχεις, τὴν ἐκύσιον αὐτῦ ἐπιποθήσας νέκρωσιν, Μανυὴλ νικηφόρε, θείᾳ δυνάμει ῥωνύμενος·

Οὐ ξίφος Μάρτυς τὸν σεῤῥὸν, τῆς καρτερίας συ πύργον, διετάραξε γενναῖε ἀλλ' ὤφθης, καρτερώτατος ποιναῖς, προσομιλῶν καὶ θλίψεσι, ταῖς παρ' ἐχθρῶν ἀσπλάγχνως, προσφερομέναις σοι ἔνδοξε· Δόξα.

Πολλὰς ὑπέσης σπαραγμὰς, πρὸς τὸ τὴν θείαν γενναῖε, ἀπαρνήσασθαι σωτήριον κλῆσιν, τῦ Χρισῦ ἀλλ' εἰς κενὸν, ὄντως κεκοπιάκασι· καὶ γὰρ μέχρι θανάτυ, ταύτην γενναίως ἐβάσασας·

Καὶ νῦν Θεοτοκίον.

Θεο-

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΟΡΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Θεοχαρίτωτε Ἁγνὴ, μετὰ τῶν ἄνω Ταγμάτων, μετὰ πάντων τῶν σοφῶν Ἀποστόλων, καὶ Μαρτύρων ἱερῶν, καὶ Προφητῶν ἱκέτευε, ὅπως ἁμαρτημάτων, τελείαν λάβωμεν ἄφεσιν· Καταβασία.

„Τὰς σὰς ὑμνολόγυς Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθο-„νος πηγὴ, θίασον συγκροτήσαντας, πνευματι-„κὸν σεφέωσον, ἐπὶ τῇ θείᾳ δόξῃ σε, σεφάνων δόξης „ἀξίωσον· Καθίσματα, ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν „τῷ Σταυρῷ ἑκουσίως·

Τὰς πολυτρόπυς αἰκισμὰς ἐνεγκόντες, ἐν ἀπτοήτῳ λογισμῷ Ἀθλοφόροι, ὑπὲρ ἡλίκε λάμπετε φαιδρότητα· ὅθεν τὴν φαιδρὰν ὑμῶν, ἑορτάζομεν μνήμην, πίσει ἱκετεύοντες, ταῖς ὑμῶν μεσιτείαις, ἁμαρτημάτων ἄφεσιν λαβεῖν, καὶ ἀγαθῶν αἰωνίων ἀπόλαυσιν· Δόξα ὅμοιον.

Ὁ Μανυὴλ ὁ τῦ Χριςῦ Ἀθλοφόρος, ὁ τὰς βασάνυς ἀνδρικῶς ὑπομείνας, τῦ Μαρτυρίε ἔλαβε τὸν σέφανον, θῦμά τε γενόμενος, ὑπὲρ τῆς εὐσεβείας, ἅπαντας ἐδίδαξε, προσκυνεῖν τὴν Τριάδα· ἧ τῶς πρεσβείαις λύτρωσαι ἡμᾶς, ἐκ πάσης βλάβης, Θεὲ ὑπεράγαθε· Καὶ νῦν θεοτοκίον ὅμοιον.

Τῶν ἀκαθάρτων λογισμῶν με τὰ πλήθη, καὶ τῶν ἀτόπων ἐννοιῶν τὰς νιφάδας, τίς ἐξειπεῖν δυνήσεται Πανάμωμε; τὰς ἐπανασάσεις δὲ, τῶν ἀσάρκων ἐχθρῶν με, τίς ἐνδιηγήσεται, καὶ τὴν τύτων κακίαν; ἀλλὰ τῇ σῇ πρεσβείᾳ Ἀγαθὴ, τύτων μοι πάν-

πάντων τὴν λύτρωσιν δώρησαι· Εἶθ' ἔτως ἀναγινώσκεται τὸ Μαρτύριον τῦ ἁγίε νεομάρτυρος Μανυὴλ τῦ Κρητός· πρόσθεν μετὰ τὸν Ἐγκωμιαστικὸν Λόγον· μεθ' ὃ ἀναγινώσκονται οἱ Οἶκοι τῆς Β'. Στάσεως.

ὨΙδὴ δ'. Ὁ Εἱρμὸς δίς.

„Ἐν Πνεύματι προβλέπων, Προφῆτα Ἀββακούμ, „τὴν τῦ Λόγυ σάρκωσιν ἐκήρυττες βοῶν· ἐν τῷ ἐγ-„γίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ· ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ· Δόξα τῇ δυνάμει σε Κύριε·

Παρθένε Θεοτόκε, ἁμόλυντε σεμνὴ, μολυνθέντα πταίσμασι, καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σε ξανίσι καθαρωτάτοις, καὶ δός μοι χεῖρα βοηθείας ἵνα κράζω, Δόξα σοι Ἁγνὴ Θεοδόξασε·

Ναὸς ἡγιασμένος, ἐδείχθης τῦ Θεῦ, τῦ ἐν σοὶ σκηνώσαντος Παρθένε ὑπὲρ νῦν, αὐτὸν δυσώπει, ἁμαρτιῶν ἡμᾶς ῥύπε ἀποκαθάραι, ὅπως οἶκος καθαρότητος ὀφθῶμεν, καὶ κατοικητήριον Πνεύματος·

Ἐλέησόν με μόνη, ἐλέες ἡ πηγὴν, Θεοτόκε τέξασα, καὶ λῦσον τὴν δεινὴν, ψυχῆς με νόσον, καὶ πώρωσιν τῆς καρδίας, δακρύων ῥεῖθρα, καὶ κατάνυξιν πρὸ τέλες, δῶσα καὶ δεινῶν ἀπολύτρωσιν·

Ἐξέησαν ὁρῶσαι Ἀγγέλων στρατιαὶ, πῶς ὁ ἀθεώρητος μορφῇ τῇ καθ' ἡμᾶς, ἐκ σῦ ὤράθη Παρθένε θεοκυῆτορ; ὃν ἐνδυσώπει σωτηρίας ἀξιῶσαι, πάντας τὺς πιστῶς σε δοξάζοντας· Ἕτερος· Ὁ καθήμενος ἐνδόξῃ·

Παρασὰς τῷ παραβάτη, ὁ τρισσόλεκτος θίασος, καὶ τῶν προσαγμάτων, ἔξαρνος τῶν τότε γενόμενος, διὰ τεσσάρων βυνεύροις ὠμοῖς τύπτετω, τότων ἔπαρος, ὧ καρτερία πανάριστος!

Γλασήριον τὸ αἷμα, τῶν Μαρτύρων ἐγένετο, καὶ εὐωδεσάτη, ὄντως τῷ Θεῷ καθιέρωσις, ἀνεμποδίσως διδῶσα τὴν ἀκίνδυνον, ἀναβρύσαν πᾶσι, πηγὴν τῶν ἰάσεων·

Τῶν ποικίλων πειρασμῶν τε, καὶ κινδύνων τὴν ἔφοδον, ταῖς ὑμῶν πρεσβείαις, ταῖς πρὸς τὸν Χριςὸν διακρύσασθε, τῶν ἐκτελούντων ἐν πίςει τὴν πανίερον, καὶ πανέορτον Μνήμην ὑμῶν ἀξιάγαστοι· Θεοτοκίον.

Γσχυρώτατόν σε ὅπλον, κατ' ἐχθρῶν προβαλλόμεθα, δυσχερείας πάσης, καὶ τῶν χαλεπῶν περιςάσεων, ἀποσειόμεθα βλάβην καὶ τὸν κλύδωνα, τῶν αἱρέσεων Μῆτερ Θεῦ διαφεύγομεν· Ἄλλος
Εἰσακήκοα Κύριε·

Οὐχ ἑρκτὴ ὧδε μάσιγες, ὧ θυμὸς τυράννε, ἀλλ' ὧδε θάνατος, τῆς ἀγάπης ἡδυνήθησαν, ἐκχωρίσαι Μάρτυς τῦ Δεσπότε σε·

Θῦμα ὄντως εὐπρόσδεκτον, τῷ Χριςῷ ἐφάνης Μάρτυς σεβάσατε, κατὰ νῶν μηδόλως θέμενος, τὰ τῦ παραβάτε μηχανήματα· Δόξα.

Οὐκ ἀρνοῦμαι τὸ ὄνομα, τῦ Χριςῦ ἐβόας Μάρτυς ἑλκό-

ἑλκόμενος, πρὸς σφαγὴν ὡς ἀμνὸς ἄκακος, ἀλλὰ φέρω πάντα νῦν γηθόμενος· Καὶ νῦν Θεοτοκίον.

Ἐπὶ κλίνης ὀδύνης με, καὶ τῆς ἀῤῥωςίας κατακειμένω μοι, ὡς φιλάγαθος βοήθησον, Θεοτόκε μόνη ἀειπάρθενε· Καταβασία.

„Τὴν ἀνεξιχνίαςον θείαν βυλὴν, τῆς ἐκ τῆς Παρ„θένε σαρκώσεως, σε τὸ Ὑψίςε, ὁ Προφήτης Ἀβ„βακύμ, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει „σε Κύριε· Ὠδὴ ε'. ὁ Εἱρμὸς δίς.

„Τὴν σὴν εἰρήνην δὸς ἡμῖν Υἱὲ τε Θεῦ· ἄλλον γὰρ „ἐκτός σε Θεὸν ὠ γινώσκομεν, τὸ ὄνομά σε ὀνομά„ζομεν· ὅτι Θεὸς ζώντων καὶ τῶν νεκρῶν ὑπάρχεις·

Νεκρόν με ἀπειργάσατό ποτε ἐν τῇ Ἐδέμ, γεῦσις πονηρὰ· ζωὴν δὲ κυήσασα Ἁγνὴ, τὸν ξύλῳ ἔκπαλαι θανόντα Φεῦ! ζωοποίησόν με, καὶ βράβευσον εἰρήνην·

Διάσωσόν με Πάναγνε κινδύνων χαλεπῶν, ἔγειρον παθῶν κοπρίας καὶ ῥῦσαί με, αἰχμαλωσίας καὶ κακώσεως, πονηρῶν δαιμόνων τὸν σὸν ἀχρεῖον δῆλον·

Τὰς κόρας τῆς ψυχῆς με διάνοιξον Ἁγνὴ, βλέπειν με τρανῶς τὴν Θείαν λαμπρότητα, καὶ τὴν σὴν δόξαν παναμώμητε, ὅπως ἐλέες τύχω, καὶ αἰωνίε δόξης·

Βασίλισσαν Παρθένον κηρύττει σε Δαβίδ, Ἄχραντε Ἁγνὴ·

Ἁγνὴ· διὸ ἱκετεύω σε, τῆς ἐρανίυ Βασιλείας με ποίησον κληρονόμον, ἵνα σὲ μακαρίζω. Ἕτερος.

Ἑξέστη τὰ σύμπαντα·

Γκρίῳ ἐπάγητε, χεῖρας καὶ πόδας Ἅγιοι, δόγματι τυράννυ μὴ πεισθέντες, καὶ ἀναρτᾶσθε, ἐν μετεώρῳ ἐκ γῆς, ὄνυξι ξεόμενοι δεινῶς, Ἄγγελον δὲ ἴδετε, ὃς ὑμᾶς παρεθάῤῥυνε·

Καλάμοις τοῖς ὄνυξιν, οἱ Ἅγιοι ἐμπήγνυνται· νῶτα δὲ καὶ κάρας καθηλῶνται, ἄτρεπτοι ὄντες καὶ μὴ βυλόμενοι, θυσίαν ἐδώλοις ἐνεγκεῖν· ὅθεν τάτας ἄσμασι καὶ ᾠδαῖς εὐφημήσωμεν·

Τὰ ἄνθη τὰ πνέοντα, ὀσμὴν ἐνθέυ γνώσεως, τῆς θεογνωσίας τὰς λειμῶνας, τῦ παραδείσυ, δένδρα τὰ εὔκαρπα, τὰς περικαλλεῖς καὶ Φωταυγεῖς, Μάρτυρας ὑμνήσωμεν, καὶ πιστῶς μακαρίσωμεν·

Θεοτοκίον.

Ῥομφαία τὸ πρότερον, ἡ τὴν Ἐδὲμ Φυλάττυσα, ςρέφει τοῖς πιστοῖς Ἁγνὴ τὰ νῶτα, σημειωμένοις Τιμίῳ Αἵματι, πάλαι κενωθέντι ἐκ πλευρᾶς, λόγχης ἐκκεντήματι, τῦ ἐκ σῦ ἀνατείλαντος. Ἄλλος.

Ἵνα τί με ἀπώσω·

Κολασήρια ξένα, Μάρτυς καὶ δεινότατα κατεπενόησαν, τῆς σῆς καρτερίας, οἱ τῆς πλάνης προσάται θερμότατοι, ἦλυς ὀξυτάτυς, τῇ Κεφαλῇ συ διαπεῖραι, καὶ τοῖς Νώτοις ἀσπλάγχνως ἐτόλμησαν·

Λαμ-

Λαμπροί συ οἱ ἀγῶνες, καὶ τὰ τρόπαια Μάρτυς ἅπερ ἀνήγειρας, κατ' ἐχθρῶν ἁπάντων, ὁρατῶν ἀοράτων πανθαύμαςε· Θεία γὰρ δυνάμει, περιεγένυ ἀμφοτέρων, καὶ τὴν τάτων ὀφρῦν καταβέβληκας·

Δόξα.

Τὰς σεπτὰς ὑμῶν Κάρας, τόπῳ ἐναπέτεμε κρημνώδει τύραννος, καὶ πυρὶ δοθῆναι, τὰ πανσέβαςα Σκήνη ἐσκέψατο, τὸ τῶν ὀρθοδόξων, πλήρωμα ἀνιᾶσαι θέλων· ἀλλ' αὐτῦ καταργεῖτε τὸ σόφισμα.

Καὶ νῦν Θεοτοκίον.

Νοερῶς ἐμυήθη, Προφητῶν ὁ σύλλογος τὰ σὰ μυςήρια· ὁρανὸν γὰρ πύλην, ἐπὶ γῆς ὁ Δεσπότης σὲ ἔδειξε, καὶ ἐν σῷ Παρθένε, σωματωθεὶς δικαιοσύνης, τοῖς ἐν σκότει, ὡς ἥλιος ἔλαμψε· Καταβασία·

„Ἑξέστη τὰ σύμπαντα, ἐπὶ τῇ Θείᾳ δόξῃ συ· σὺ „γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν „ἐπὶ πάντων Θεὸν, καὶ τέτοκας ἄχρονον Υἱὸν, πᾶ„σι τοῖς ὑμνῦσί σε, σωτηρίαν βραβεύυσα·

ὨΙδὴ ς'. ὁ Εἱρμὸς δίς.

„Τὸν Προφήτην Γωνᾶν ἐκμιμύμενος βοῶ, τὴν ζωήν „μυ Ἀγαθὲ, ἐλευθέρωσον Φθορᾶς καὶ σῶσόν με, „Σωτὴρ τῦ κόσμυ, κράζοντα δόξα σοι·

Μολυνθέντα με πολλαῖς ἁμαρτίαις τὴν ψυχὴν, δυσωπῶ σε ἐκτενῶς, τὴν ἀμόλυντον σκηνὴν ἀπόπλυνον, παντοίυ ῥύπυ τῇ μεσιτείᾳ συ·

Κυβερνῆτίς μοι γενῦ θαλαττεύοντι Ἁγνὴ, ἐν πελάγει χαλεπῷ, τῶν τῦ βίυ πειρασμῶν καὶ ἴθυνον, πρὸς σωτηρίας ὁδὸν καὶ σῷσόν με·

Ἁγιάσματος σκηνὴ δεδειγμένη Μαριὰμ, μιανθῆσαν ἡδοναῖς, τὴν ἀθλίαν μυ ψυχὴν ἁγίασον, καὶ Θείας δόξης μέτοχον ποίησον·

Τὴν Μητέρα τῦ Θεῦ καὶ καλὴν ἐν γυναιξί, δυσωπῶ σε ἐκτενῶς, μὴ παρίδῃς με Ἁγνὴ, ἀλλ' οἰκτειρον, καὶ πάσης βλάβης ἐγθρᾶ ἀπάλλαξον·

Ἕτερος· Τὴν Θέαν ταύτην καὶ πάντιμον.

Τὴν Θέαν ταύτην καὶ πάντιμον, τελῶντες τῶν Μαρτύρων πανήγυριν, δεῦτε Φιλέορτοι, ἄνθη χαρίτων δρεψώμεθα, καὶ τῶν δεινῶν τὴν λύτρωσιν κομισώμεθα·

Θαυμάτων χάριν δεξάμενοι, ἰᾶσθε τῶν ψυχῶν ἀῤῥωσήματα, ἔνδοξοι Μάρτυρες, καὶ τῶν δεινῶν ἀπαλλάττετε, τὺς πρὸς ὑμᾶς ἐν πίσει ἀεὶ προσρέχοντας·

Τῷ Θάῳ ζήλῳ πυρῶμενοι, λαμπάσι τὰς μασχάλας ἐφλέχθητε· ὅθεν τὴν ἔνθεον, χάριν ἀφθόνως ἐλήφατε, καὶ τῶν δεινῶν τὴν λύσιν πισοῖς παρέχετε.

Θεοτοκίον.

Τὸ πῦρ ἐν σοὶ τῆς θεότητος, ἐσκήνωσεν Ἁγνὴ θεονύμφευτε, καὶ ὃ κατέφλεξε, τὴν σὴν νηδὺν παμμακάρισε, ἐῤῥόσισε δὲ μᾶλλον καὶ κατεφώτισεν·

Ἄλλος· Γλάσθητί μοι Σωτήρ.

Λαμπρότατε Μανηὴλ, τὺς ὁμωνύμυς σοι Φύλαττε, καὶ πάντας τὺς εὐσεβεῖς, τὺς τὴν σὴν γεραίροντας, μνήμην τὴν πανίερον, ἐκ παντὸς κινδύνυ, καὶ δεινῶν καὶ περισάσεων.

Ἐνήθλησας ἀνδρικῶς, ποσί συ κτείνας τὸν δράκοντα, καὶ νῦν ἐν τοῖς ῥανοῖς ἀγάλλῃ δρεπόμενος, τὰ γέρα τῶν πόνων συ, καὶ ἡμῖν βραβεύων τὴν εἰρήνην ταῖς πρεσβείαις συ· Δόξα.

Ταῖς ῥέβλαις τῶν ἀσεβῶν, ὁ Μάρτυς πάσχων ἠγάλλετο, καὶ πάθει τῷ ἀπαθῶς τὸν νῦν κραταιύμενος, ἐνίκα τὺς ἄφρονας, πρὸς τὸν Ἀθλοθέτην, ἀνενδότως ἐπειγόμενος· Καὶ νῦν Θεοτοκίον.

Λαμψάτω νῦν ἐπ' ἐμὲ, ἡ ἄφατος εὐσπλαγχνία συ, ῥυθῷ με ἁμαρτιῶν καὶ τῆς ἀπογνώσεως, Κόρη ἀπαλλάττυσα, καὶ πρὸς μετανοίας, τὺς λιμένας ἐμβιβάζυσα· Καταβασία.

„Τὴν Θέαν ταύτην καὶ πάντιμον, τελῶντες Ἑορ„τὴν οἱ Θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς „χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν „δοξάζοντες· Κοντάκιον· ἦχος δ'. Ἐπεφάνης σή„μερον·

Οἱ τρεῖς Θεῖοι Μάρτυρες οἱ ἐκ Περσίδος, τὸν Σταυρὸν ἀράμενοι, ὐκ ἐδειλίασαν ποινὰς, ἀλλ' ἐν σαδίῳ ἐκήρυξαν, τὸν ἐν Μονάδι Θεὸν Τρισυπόστατον·

ὁ Οἶκος.

Εὐφη-

Εὐφημήσωμεν φιλέορτοι τὰς Μεγαλομάρτυρας τρεῖς Ἀυταδέλφυς Μανυὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ, τὰς ἐκ τῆς Περσίδος ὡς ἀϑέρας φαεινὰς ἐκλάμψαντας λέγοντες· χαίρετε οἱ τὰ σώματα παντοίοις ἀϑλισμοῖς παραδόντες, καὶ τὴν ἄληκτον καὶ ἀγήρω ζωὴν τῆς Φϑαρτῆς προτιμήσαντες· χαίρετε οἱ τὰ σίγματα τῦ Κυρίυ ἐν τοῖς σώμασιν ὑμῶν φέροντες, καὶ διὰ Χριϛὸν τὰς ἀσραγάλας ἥλοις παρέντες· χαίρετε οἱ τὸν διὰ ξίφυς θάνατον ἑτοίμως δεξάμενοι, καὶ τῶν γηΐνων τὰ ϑράνια ἀνταλλάξασθαι βληθέντες· καὶ νῦν ἐν ϑρανοῖς σὺν Ἀγγέλοις ἀγαλλόμενοι, ἀπαύςως ὑμνεῖτε, τὸν ἐν Μονάδι Θεὸν Τρισυπόςατον· Ἕτερον Κοντάκιον τῦ Ἁγίυ Μανυὴλ ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ ςρατηγῷ τὰ νικητήρια.

Τῶν τῦ τυράννυ ἀπειλῶν καὶ ὑποσχέσεων, καταφρονήσας ἀνδρικῶς ςύλε ἀκλόνητε, σὺν ὁμαίμοσιν ἐνήϑλησας Μεγαλόφρον· ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον, Μανυήλ με ἐκ κινδύνων ἐλευθέρωσον· ἵνα κράζω σοι, Χαίροις Μάρτυς πανθαύμασε· ὁ Οἶκος.

Τίς σε τῶν ἐπιγείων Μανυὴλ ἐξισχύσειεν εἰπεῖν τὰς Μαρτυρικὰς ἄϑλας, καὶ τῆς ὑπὲρ Χριϛῦ πάλης τὴν ἄμετρον ἔνσασίν τε καὶ καρτερίαν, ἣν ἐπὶ γῆς ὡς ἄσαρκος ἐπεδείξω; ἀλλ' ὅμως ἴδε ἄτω σοὶ κράζω. Χαίροις Θεῦ ςρατιῶτα γενναῖε, Χαίροις Χριϛῦ Μάρτυς ὡραῖε. Χαίροις ἀςὴρ τῦ νοητῦ Ἡλίυ παμφαίδιμε, Χαίροις καρπὲ τῦ ἁγίυ πνεύματος ὥριμε· Χαίροις

ροις Περσίδος ἀϑάνατον βλάσημα, Χαίροις ϑράκης ἀκλόνητον ἔρεισμα· Χαίροις τερπνὸν ϑῦμα τῦ παντάνακτος Θεῦ, Χαίροις ὁ τὴν πλάνην διελέγξας τῷ Ἰϛλιανῷ· Χαίροις ὁ πῦρ ἥλυς καλάμυς βέλη καὶ ξίφος ἀς ἀδὲν λογισάμενος, Χαίροις ᾧ τῇ ἀϑλητικῇ ἐνσάσει Σατὰν ὁ δόλιος ὑπῆρξε παιζόμενος· Χαίροις τῶν ἑορταζόντων τὴν Μνήμην σε ὁ προσάτης, Χαίροις δι' ὃ ἠττήϑη ὁ τύραννος παραβάτης· Χαίροις Μάρτυς πανθαύμασε.

Τῷ Αὐτῷ Μηνὶ Ιζ΄.

Μνήμη τῶν Ἁγίων Πανενδόξων καὶ Τρισμακαρίων Αὐταδέλφωντε, καὶ Τρισμεγίσων τῷ Χριϛῷ τριῶν γενναιοτάτων Ἀϑλοφόρων, ΜΑΝΟΥῊΛ τῷ Πολυάϑλῳ, ΣΑΒῈΛ τῷ Θεοφρονος, καὶ ΙΣΜΑῊΛ τῷ Τρισολβίῳ, Ἀϑλησάντων ἐν Ἔτει Σωτηρίῳ Τριακοσιοςῷ Ἑξηκοςῷ Δευτέρῳ· Στίχοι·

„ΜΑΝΟΥῊΛ, ΣΑΒῈΛ, ΙΣΜΑῊΛ τρεῖς ὁπλίτᾳ,
„Τριάδος αἰσχύνασιν ἐχθρὰς τρισάτας·
„Τὸν ΜΑΝΟΥῊΛ νύττασι λόγχαι Χριϛέ με,
„Ζηλῶντα πλευρᾶς λογχονύκτε σῆς πάθος·
„Ἑβδομάτῃ δεκάτῃ ἴδε τρεῖς Ἀνέρας ἀϑλέοντας,



Οὗτοι ὑπῆρχον ἐκ Περσίδος, ἀποσαλέντες παρὰ τῆ Βασιλέως Περσῶν Βαλτάνα (*) καὶ τὰ πρὸς εἰρήνην βραβεύοντες, κατὰ τὰς χρόνας Γαλιανῆ τῆ Παραβάτα· ὃν θύοντα τοῖς εἰδώλοις πέραν ἐν Χαλκηδόνι θεασάμενοι, καὶ πολλὰς τῆ αὐτῆ πλάνῃ καθυπαγομένας, αὐτοὶ ὑπάρχοντες θεοσεβεῖς, καὶ τῷ Χριστῷ λατρεύοντες ὠλοφύροντο, καὶ τὸν Χριστὸν καθικέτευον, διαφυλαχθῆναι αὐτὰς τῇ πίστει τῇ εἰς αὐτὸν, καὶ μὴ κοινωνῆσαι τῇ πλάνῃ τῶν εἰδωλολατρῶν· γνωσθέντες δὲ καὶ ἀχθέντες τῷ δυσσεβεῖ Γαλιανῷ, τύπτονται, καὶ ἥλοις περονῶνται τὰς ἀσραγάλας, καὶ λαμπάσι πυρὸς τὰς μασχάλας καταφλέγονται· καὶ ταῦτα μὲν κοινῇ· ἰδίᾳ δὲ ὁ Ἅγιος Μανὴλ ὑποσχέσεις δεξάμενος παρὰ τῆ μικρῆ Βασιλέως Γαλιανῆ καὶ παραινέσεις, καὶ μὴ πεισθεὶς θυσίαν προσενεγκεῖν τοῖς εἰδώλοις, καθηλᾶται τὴν Κεφαλὴν, καὶ ἀμφότερα τὰ Νῶτα, καὶ καλάμοις ἐλιθεὶς κατασφίγγεται, καὶ ἑτέροις ὀξέσι κατακεντᾶται βέλεσι, καὶ ὅτως ἅμα τοῖς δυσὶν Ἀδελφοῖς

(*) Παρ' ἄλλοις Ἀλαμανδάρα.

Φοῖς αὐτῆ Σαβὲλ καὶ Γσμαὴλ, ἐν τῷ πρὸς Θράκην τείχει, τῷ ἐπιλεγομένῳ Κωνσαντίνα, ἐν τόπῳ κρημνώδει ἀπαχθέντες, τὰς Κεφαλὰς ἀπετμήθησαν.

Τῆ αὐτῆ ἡμέρᾳ· Ἄθλησις τῆ Ἁγίᾳ Νεομάρτυρος ΜΑΝΟΥΗΛ τῆ Κρητὸς, ἀθλήσαντος ἐν Ἔτει Σωτηρίῳ Χιλιοστῷ Ἑπτακοσιοστῷ Ἐννενηκοστῷ Δευτέρῳ· Στίχοι

„Τμηθεὶς ΜΑΝΟΥΗΛ τὸν σὸν Ἀυχένα ξίφει,
„Τέτμηκας ἐχθρᾶ τὰς πανεργίας πάσας·
„Δῶρον Θεός σε ἀγλαόν τε καὶ Νέον,
„Δέδωκεν ἡμῖν ΜΑΝΟΥΗΛ ὦ Τρισμάκαρ·
„Βῆ δὲ ΜΑΝΟΥΗΛ εἰς Οὐλύμποιο Δῶμα Φαεινόν.

Οὗτος ὥρμητο μὲν ἐκ Σφακίων τῆς Κρήτης, ἦν δὲ ἐγεγόνει γονέων χρισιανῶν· νέος δὲ τὴν ἡλικίαν ἀχμαλωτισθεὶς ὑπὸ τῶν ἀγαρηνῶν, καὶ βίᾳ φεῦ! τὴν εἰς Χριστὸν Πίστιν ἀπαρνηθεὶς, εἰς Νῆσον ἀποδιδράσκει Μύκωνον, κἀκεῖ μυρωθεὶς, εὐσεβῶς ἔζη· μετ' ὀ πολὺν δὲ χρόνον πλέων ἀπὸ Σάμε εἰς Μύκωνον, συναντᾷ Νηῒ τῶν ἀγαρηνῶν Ναυάρχε, ἧς τῶν ἐπιβατῶν τις αὐτὸν ἐπιγνὼς, καταγγέλλει τῷ κυβερνήτῃ, καὶ συλληφθεὶς πρὸς τὸν Ναύαρχον μετὰ πολλὰς βασάνες παραδίδοται, διατρίβοντα ἐν Χίῳ· ὃς καὶ μαθὼν τὰ κατὰ τὸν Μάρτυρα, βιάζεται αὖθις αὐτὸν τὴν εἰς Χριστὸν Πίστιν ἀρνήσασθαι· τῶ δὲ Μάρτυρος σεβρῶς τῇ εὐσεβείᾳ ἐμμένοντος, καὶ μηδαμῶς τὰς ἀπειλὰς αὐτῆ εἰς νῶν θεμένε, ξίφει τὴν Κεφαλὴν αὐτῆ ὁ Ναύαρχος ἀποτμηθῆναι κελεύει· ἀπαχθεὶς

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

θεὶς δὲ εἰς τὴν παλαιὰν καλεμένην Κρήνην, ὡς πρόβατον ἀπεσφάγη.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τῦ ἁγίε Μάρτυρος Γ'σαύρε καὶ τῶν σὺν αὐτῷ· Βασιλείκ, Γ'ννοκεντίε, Φίλικος, Ἑρμείε, καὶ Περεγρίνε.

Ὁ Γ'σαυρος καὶ οἱ σὺν αὐτῷ ὥρμηντο ἐξ Ἀθηνῶν· ἐξανασάντες δὲ τῆς Πατρίδος, ἔν τινι Σπηλαίῳ τῆς Ἀπολλωνίας γενόμενοι, Φίλικι καὶ Περεγρίνῳ, καὶ Ἑρμείᾳ περιτυγχάνεσιν· ὃς καὶ διδάσκοντος τῦ Ἁγίε Γ'σαύρε μὴ πρὸς τὰ παρόντα ἐπτοῆσθαι, ἤτοι ἔργοις τὰς αὐτῦ λόγυς ἐπεβεβαίωσαν· ἀποσρεΦόμενοι γὰρ τὴν τῶν συγγενῶν ὁμιλίαν, πρὸς τῷ αὐτῶν Γρηγορίῳ Ἐπάρχῳ διαβάλλονται· ὃς καὶ συλλαβών, καὶ τῦ Χριςῦ ἀποςῆσαι μὴ δυνηθεὶς, ξίΦει τὰς ΚεΦαλὰς αὐτῶν ἀποτμηθῆναι προσάττει· Γ'σαυρος δὲ ὁ τῦ Χριςῦ Διάκονος καὶ οἱ σὺν αὐτῷ, Ἀπολλωνίῳ τῷ ἱῷ Ἐπάρχε ἐκδίδονται· ὑΦ' ὃ πυρὶ καὶ ὕδατι δοκιμασθέντες, καὶ ἐν τῷ παραδόξως ἐκ τάτων ῥυσθῆναι, πολλὰς πρὸς τὴν εἰς Χριςὸν μεταθέντες Πίςιν, ὧν ἦσαν καὶ οἱ πρῶτοι τῆς πόλεως, Ῥ'ᾶΦος, καὶ Ῥ'ΦῖνοςοἱΑὐτάδελΦοι, τελευταῖον τὴν ἀπόΦασιν δεξάμενοι, τέμνονται τὰς ΚεΦαλάς.

Τῇ αὐτῇ Ἡμέρᾳ, τῦ Ὁσίε Πατρὸς ἡμῶν Βησσαριώνος.

Οὗτος ὁ Ὅσιος ἐκ νεαρᾶς ἡλικίας ἔτι ἀποταξάμενος, καὶ τὴν σκήτην καταλαβών, εἰς τοιαύτην ἄσκησιν

σιν καὶ ἀκτημοσύνην ἤλασεν, ὡς ἐν τῶν ἀερίων πτηνῶν, ἢ νηκτῶν, ἢ χερσαίων ζώων, ἀταράχως καὶ ἀμερίμνως πάντα τὸν χρόνον τῆς ζωῆς αὐτῦ διατελέσας· ὃ γὰρ Φροντὶς οἴκε παρ' αὐτῦ ἐμελετᾶτο, ὃ τόπων ἐπιθυμία κεκρατηκέναι ἔδοξε τῆς τότε ψυχῆς, ὃ κόρος τρυΦῆς, ὃ κτήσεις οἰκημάτων, ὃ βίβλων περιΦορὰ, ἀλλ' ὅλως διόλε τῶν τῦ σώματος παθῶν ἐΦάνη ἐλεύθερος, ἐλπίδι τῶν μελλόντων τρεΦόμενος, καὶ πίσεως ὀχυρώματι βεβηκὼς ἐκαρτέρει, ὥσπερ ἀχμάλωτος ὧδε κἀκεῖσε ἐν ψύχει καὶ γυμνότητι διαμένων, καὶ τῇ Φλογὶ τῦ ἡλίε διαΦλεγόμενος, ἄθριος ἵστατο πάντοτε· κρημνοῖς ἐρημιῶν ἑαυτὸν, ὡς πλανώμενον περιπείρων, καὶ πλατείᾳ τῆς ἄμμε χώρᾳ ἀοικήτῳ πολλάκις ἑαυτὸν ὡς ἐν πελάγει Φέρεσθαι εὐδοκήσας· καὶ νυχθήμερα τεσσαράκοντα πεποίηκεν ἐν μέσῳ ῥάμνε ἑσηκὼς καὶ μὴ κοιμώμενος, καὶ τεσσαράκοντα χρόνυς ποιήσας μὴ ἀνακλίνας ἑαυτὸν ἐπὶ πλευρᾶ, ἀλλὰ καθήμενος καὶ ἱσάμενος ἐκοιμᾶτο· ἕτως ἂν βιώσας καὶ πολιτευσάμενος, πρὸς Κύριον ἐξεδήμησε·

Τῇ αὐτῇ Ἡμέρᾳ· Τῦ Ὁσίε Πατρὸς ἡμῶν Γ'πατίε τῦ ἐν Ῥ'εΦιανᾶις.

Ὁ Πατρὶς ὑπῆρχε Φρυγία· καὶ γονεῖς Θεοσεβεῖς ἐπὶ τῶν χρόνων Ὀνωρίε, καὶ Ἀρκαδίε τῶν Βασιλέων· γράμματα δὲ ἱκανὰ παιδευθεὶς, καὶ τὸν ὀκτωκαιδέκατον χρόνον πληρώσας, πάντα καταλιπὼν, τὸν μονήρη βίον ὑπέδυ· καὶ πάσῃ ἀρετῇ κοσμηθεὶς, τὴν τῦ πρεσβυτέρε χειροτονίαν δέχεται· καὶ πληρώσας

τὸν ὀγδοηκοστὸν χρόνον, μακαρίως ἀνεπαύσατο· ὁπόσα δὲ δι' αὐτῦ θαύματα τελῦντα, ἀδύνατον γράψαι·

Ταῖς τῶν σῶν Ἀθλοφόρων πρεσβείαις Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν. Εἶτα ἀναγινώσκονται παρὰ τῦ Ἱερέως οἱ Οἶκοι τῆς Γ. Στάσεως.

Ὠδὴ ζ'. ὁ Εἱρμὸς δίς.

„ Τὸς ἐν καμίνῳ παῖδάς σε Σωτὴρ, ἐχ ἥψατο ἀδὲ
„ παρηνώχλησε τὸ πῦρ· τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς σώ-
„ ματος, ὕμνυν καὶ εὐλόγυν λέγοντες, εὐλογητὸς
„ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν·

Τὴν μιανθεῖσαν πάθεσι ψυχὴν, ἁγίασον Δέσποινα τῦ δόλε σε Ἀγνὴ, καὶ τῦ νοὸς δεινὰς αἰχμαλωσίας, καὶ καρδίας πώρωσιν, καὶ τῶν δαιμόνων ὁρμὰς, τάχος ἀφάνισον·

Νενεκρωμένον πάθεσι σαρκὸς, Πανάμωμε ζῴωσον τὸν νᾦν με καὶ Θεῷ, τὰ ἀρεσὰ ἐπιτελεῖν ἐνίσχυσόν με, ἵνα μεγαλύνω σε, ἵνα δοξάζω ἀεὶ τὴν εὐσπλαγχνίαν σε·

Ῥῦσαι γεέννης Δέσποινα Ἁγνὴ τὸν δῦλόν σε, ῥῦσαι καταδίκης με Φρικτῆς τῦ σῦ Υἱῦ, ῥῦσαι κολάσεως ἀπάσης ἐμὲ τὸν κατάκριτον, ἐκδυσωπῦσά Θεὸν τὸν ὑπεράγαθον·

Νέκρωσον τάχει Δέσποινα Ἁγνὴ, τὰ τῆς σαρκὸς πάθη

πάθη καὶ ψυχῆς με ταπεινῆς, ῥῦπον δεινὸν ἀπόσμηξον Παρθένε, καὶ λογοθεσίᾳ με δαιμόνων τῶν πονηρῶν, ῥῦσαι καὶ σῶσόν με·

Ἕτερος· Οὐκ ἐλάτρευσαντῇ κτίσει·

Ἐπὶ πέτραν, θείαν γνώσεως ἐρείσαντες, τὰς βάσεις Ἔνδοξοι, τῶν καρδιῶν ὑμῶν, ἐχθρῶν μηχανήμασιν ἀ παρετράπητε, ἀναμέλποντες, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ·

Διεχώρισεν, ὑμᾶς ὁ ἀνομώτατος, τύραννος Ἔνδοξοι, Σαβέλ τε καὶ Ἰσμαὴλ, ἀπάτῃ σκεπτόμενος, ὑποσκελίσαι ὑμᾶς, ἀλλ' ἀπέτυχε· καὶ γὰρ ὑμεῖς ὡράθητε, ἀδιάσειστοι γενάδαι·

Ἀλαμάνδαρος, ὁ Ἄναξ τῶν Περσῶν ὑμῖν, ἐλθεῖν ἐκέλευσεν ὡς στρατηλάταις αὐτῦ, εἰρήνην βραβεύσασθαι πρὸς τὸν παράνομον, ὅστις ἦκισα, εἰς νᾦν πρεσβείαν θέμενος, ὑπὲρ πίστεως ἠρεύνα· Θεοτοκίον.

Φωτεινότατον, παλάτιον εὑράμενος, Θεὸς τὴν μήτραν σε, ταύτην κατῴκησεν, ἧς ἐργαζόμενος Φωτὸς Πανάμωμε, τῆς κραυγάζοντας, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ·

Ἄλλος· Θεᾦ συγκατάβασιν

Βοῶνύμενος σθένει σε, παντοδυνάμῳ ὁ Ἀθλοφόρος Χριστὲ, καὶ τελέσας τὸν δρόμον τῦ Μαρτυρίε γιγαντιαίῳ ποδὶ, καὶ σὺν Ἀγγέλοις σκηνώσας κραυγάζει σοι, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν·

Σιὼν

Σιὼν τὴν ἀράνιον, οἰκεῖς παμμάκαρ σὺν τοῖς Μαρτύρων χοροῖς, ἐλλαμπόμενος αὐγῇ, καὶ φωταυγίᾳ τῆ ἀνεσπέρῳ φωτὸς, καὶ σὺν Ἀγγέλοις βοᾷς εὐφραινόμενος· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν· Δόξα.

Μετ' ἤχῳ ἀπώλετο, τὸ παραβάτῳ οἰκτρὸν μνημόσυνον, κατὰ τὴν προφητείαν, πρὸς τὴν Περσίδα θρασέως ἐγγίζοντος· καὶ γὰρ καιρίως ἐτρώθη ὁ δείλαιος, καὶ τὴν ἀθλίαν οἰκτρῶς, ψυχὴν ἀπεχρέμψατο· Καὶ νῦν Θεοτοκίον.

Ὡς ὄρθρος ἀνέτειλας, δικαιοσύνης ἥλιον ἔχουσα, τὸν ἐκ σκότους τὸν κόσμον, τῆς ἀγνωσίας ἀποκαθαίροντα, Θεογνωσίας ἀκτίσιν ᾧ ψάλλομεν, Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν· Καταβασία.

„Οὐκ ἐλάτρευσαν τῇ κτίσει, οἱ ΘεόΦρονες παρὰ „τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλὴν, ἀνδρείως „πατήσαντες, ἔχαιρον ψάλλοντες· ὑπερύμνητε, „ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ·

Ὠδὴ ή. ὁ εἱρμὸς δίς.

„Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσα κρατιὰ, ὡς „Κτίσην καὶ Κύριον ὑμνεῖτε ἱερεῖς, δοξάσατε παῖδες, „εὐλογεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς „αἰῶνας·

„Σαρκωθῇ ὁ Ἄσαρκος, ἐκ σοῦ θεοπρεπῶς, ὃν αἴτησαι Πάναγνε τὰ πάθη τῆς ἐμῆς, ψυχῆς θανατῶσαι καὶ

καὶ ζωῶσαι αὐτὴν, νενεκρωθεῖσαν πάλαι, κακίᾳ ἁμαρτίᾳ·

Ἰάσω τὸ σύντριμμα, Ἀδὰμ τῆ κοίτῃ, Σωτῆρα κυήσασα Πανάχραντε Θεὸν, αὐτὸν ἐνδυσώπει τὰς πληγὰς τῆς ἐμῆς, ψυχῆς θεραπεῦσαι, ἀνίατα νοσούσης·

Ἀνάσησον κείμενον, εἰς βάθη με κακῶν, τοὺς νῦν πολεμοῦντάς με πολέμησον ἐχθροὺς, τρωθέντα ἀτόποις ἡδοναῖς τὴν ψυχὴν, Ἄγνη μὴ παρίδῃς, ἀλλ' οἰκτειρον καὶ σῶσον·

Ἰάτρευσον Πάναγνε, τὰ πάθη τῆς ἐμῆς, καρδίας κυήσασα τὸν πάντων ἰατρὸν· καὶ τῆς τῶν δικαίων δεῖξόν με Παρθένε, μέτοχον μερίδος, Χριστὸν ἐνδυσωποῦσα· Ἕτερος· Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ἐλθόντες εἰς τόπον τοῦ θανάτου, εὐθέως τὰς Κεφαλὰς ἐναπετμήθητε· εἶτα θαῦμα γέγονεν, ὄντως ὑπερένδοξον· ἡ γῆ γὰρ ἐναπέκρυψε, τὰ ὑμῶν σώματα, οἱ ἅπιστοι ἐν πίστει ἐβόων, Μέγας ὀρθοδόξων, Θεὸς εἰς τοὺς αἰῶνας·

Ἐκ γῆς ἀναφύονται ὡς κρῖνα, σαλάζοντα εὐωδίας γλυκασμὸν, τὰ σεπτὰ σκηνώματα, τῶν Μαρτύρων ἅπασι, ταῖς προσευχαῖς καμπτόμενα, τῶν εὐσεβῶν συμπαθῶς, ἰάσεις τοῖς νοσοῦσι δωρούμενα, ἵνα εὐλογῶσι Χριστὸν εἰς τοὺς αἰῶνας·

Τοὺς τοὺς γενναίους Ἀθλοφόρους, Σαβὲλ, Ἰσμαὴλ,

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΔΙΟΝΥΣΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

καὶ Μανουὴλ, τὰς ἐκ Περσίδος λάμψαντας, πρέσβεις πρὸς τὸν Κύριον, ἰσχυροτάτους ἔχοντες, πόθῳ κραυγάζομεν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψῶτε αὐτὸν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Σαρκὶ ἐνωθεὶς σοι κατ' ὐσίαν, ὁ πᾶσι τὸ εἶναι παρεχόμενος, ὅλον με ἀνέπλασεν, ὅλον ἀνεκαίνισε, παλαιωθέντα Πάναγνε, ταῖς παραβάσεσι· διὸ σὲ τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ἐπταπλασίως κάμινον.

Ὦ Μανουὴλ πολύαθλε, τὸν ἐν Χίῳ ἀθλήσαντα, πρόσφατόν σοι φίλον, καὶ κλεινὸν ὁμώνυμον, τῇ σῇ χορείᾳ πρόσδεξῳ· ὅτος γὰρ ὄντως ὑπὲρ Χριστῦ, ὡς περικαλλὴς ἀμνὸς ἐτμήθη τὴν Κάραν· διὸ καὶ ὁμοφώνως, τῷ Θεῷ καὶ Δεσπότῃ, πρεσβεύσατε σωθῆναι, ἡμᾶς τοὺς ὀρθοδόξους.

Ὑπὲρ ἡμῶν ἱκέτευε, Μανουὴλ τρισμακάριστε, τὸν Θεὸν τῶν ὅλων, τῶν θερμῶς τελούντων σε, τὴν Μνήμην τὴν πάντιμον, καὶ παναγίαν σε τελετὴν, ἔχων πρὸς αὐτὸν, Μαρτυρικὴν παῤῥησίαν, προσάγειν ἱκεσίας, καὶ πληροῦν τὰς αἰτήσεις, τῶν πίστει προσερχόντων, τῇ σκέπῃ σε τῇ Θείᾳ. Δόξα.

Τῷ θρόνῳ παριστάμενος, τῆς Τριάδος τρισόλβιε, ἅμα τοῖς Μαρτύρων, ἱεροῖς στρατεύμασιν, ἀγώνων τὰ ἔπαθλα, λαμβάνεις παρ' αὐτῆς δαψιλῶς, καὶ νικη-

νικητικὰ ὡς Ἀθλητὴς τὰ βραβεῖα, δεχόμενος τρισμάκαρ, σὺν πολλῇ εὐφροσύνῃ, ὑμνεῖς τὸ θεῖον κράτος, εἰς πάντας τοὺς αἰῶνας. Καὶ νῦν Θεοτοκίον.

Νύμφη Θεὸ πανάμωμε, τοὺς πρὸς σὲ καταφεύγοντας, τῆς ἀχμαλωσίας τῶν παθῶν ἐξάρπασον, καὶ τὴν αὐτοδέσποτον ἐλευθερίαν Δέσποινα, ταῖς τῶν ὀρθοδόξων Ἐκκλησίαις παράσχε, ταῖς πίστει μελῳδούσαις, ἱερᾶς εὐλογεῖτε, λαὸς ὑπερυψῶτε εἰς πάντας τοὺς αἰῶνας. Καταβασία.

Αἰνῶμεν εὐλογῶμεν καὶ προσκυνῶμεν τὸν Κύριον.

„Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ Τόκος τῆς Θεο-
„τόκε διεσῴζετο· τότε μὲν τυπόμενος, νῦν δὲ ἐνερ-
„γόμενος, τὴν Οἰκουμένην ἅπασαν, ἐγείρει ψάλλειν
„σοι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψῶτε
„εἰς πάντας τοὺς αἰῶνας. Εἶθ' ἔτως ἀναγινώσκεται εἰ Οἶκοι τῆς Δ'. Στάσεως· καὶ μάλλον εὐθὺς Τὴν Τιμιωτέραν· εἰς ἣν ἦχον ἀ. μεθ' ὃν τὸν Θ'. ᾠδήν. Ὃς ὁ Εἱρμὸς δὶς.

„Τὴν φωτοφόρον νεφέλην, ἐν ᾗ ὁ πάντων Δεσπότης,
„ὡς ὑετὸς ἐξ ὑρ[illegible], ἐπὶ πόκον κατῆλθε, καὶ ἐσαρ-
„κώθη δι' ἡμᾶς, γενόμενος ἄνθρωπος, ὁ Ἄναρχος·
„μεγαλύνωμεν [illegible]ντας, ὡς Μητέρα τῦ Θεῦ ἡμῶν
„Ἁγνήν.

Φιλαμαρτήμων ὑπάρχων, ἐν ἀμελείᾳ διάγω, καὶ τὸ Κριτήριον Ἁγνὴ, τὸ ἀδέκαστον τρέμω, ἐν ᾧ με τήρησον ταῖς σαῖς Ἁγίαις ἐντεύξεσιν, ἀνεύθυνον ἀκατάκριτον ὅπως, ὡς προσάτιν μακαρίζω σε ἀεί.

Φρίτ-

Φρίττω τὸ Βῆμα Παρθένε, καὶ τὸ ἀλάθητον Ὄμμα, τῦ σῦ Υἱῦ πράξεις αἰσχρὰς, ἐπὶ γῆς ἐκτελέσας, καὶ διὰ τῦτό σοι βοῶ, πανεύσπλαγχνε Δέσποινα, βοήθει μοι, καὶ τῆς τότε ἀνάγκης ἐξελῦ με, καὶ διάσωσον Ἁγνή.

Ὡς φοβερὰ ἡ ἡμέρα, τῆς ἐξετάσεως Κόρη· ὡς ἡ ἀπόφασις φρικτὴ, ὡς δεινὴ ἡ αἰσχύνη, τίς ὑποσήσεται λοιπὸν; Πανάχραντε Δέσποινα, ἐλέησον, τὴν ἀθλίαν ψυχήν μῦ, καὶ πρὸ τέλῦς δός μοι ἄφεσιν κακῶν.

Φῶς ἡ τεκῦσα τὸ Θεῖον, ἐσκοτισμένον με πάσαις, ταῖς μεθοδίαις τῦ ἐχθρῦ, καὶ ῥαθύμως βιῶντα, καὶ παροργίζοντα Θεὸν Πανάμωμε, φώτισον ὁδήγησον, πρὸς καλὰς ἐργασίας, ὡς αἰτία ἅπασι τῶν καλῶν.

Ἕτερος.

Ἅπας γηγενὴς· μετὰ τῶν Μεγαλυναρίων.

„Ἄγγελοι θαυμάζεσιν ἐρανόθεν, ὁρῶντες ὑμᾶς Ἅγιοι, καθυπομείναντες πάσας, τὰς τῦ τυράννε βασάνες.

Δεῦτε οἱ πιστοὶ, συμφώνως αἰνέσωμεν, τὰς τρεῖς Θεόφρονας, καὶ μεγίστας Μάρτυρας· καὶ γὰρ τὰ σώματα αὐτῶν ἔδωκαν, βασανισαῖς οἱ Ἔνδοξοι, καὶ ὑπομέναντες, ὁλοψύχως, θάνατον ὠμότατον, τῆς ἀγήρω ζωῆς ἐκληρώσαντο.

„Ἄνθρωποι ἐν ᾄσμασιν εὐφημῆσι, τὰ πάθη ὑμῶν Ἔνδοξοι, ἃ ὑπηνέγκατε ξένως, Αὐτάδελφοι τρεῖς ὁπλῖται.

Πᾶν-

Πάντες οἱ πιστοὶ, Σαβὲλ τὸν τρισόλβιον, σὺν Ἰσμαὴλ τῷ σοφῷ, καὶ τὸν παναοίδιμον, ἐκείνων μάζονα καὶ Αὐτάδελφον, τὸν Μανυὴλ ὑμνήσωμεν, δοξολογῦντες αὐτὸς, κατὰ χρέος, χαίρετε Αὐτάδελφοι, τῶν Περσῶν τὰ εὐώδη βλασήματα·

„Ἥρωες, ἐδείχθητε ἐν σαδίῳ, ἀθλῦντες καρτερώτατα, καὶ τῦ τυράννε τὸ δόγμα, εἰς χάος καταβαλόντες.

Στήσατε δεινὸν, βαρβάρων τὸν κλύδωνα, ἐπεγειρόμενον, πάντοτε τοῖς δάλοις ὑμῶν, τῆς Ἐκκλησίας παύσατε σχίσματα, τοῖς ὑμνηταῖς βραβεύσατε, πταισμάτων ἄφεσιν, εὐσεβέσι, νίκας χαριζόμενοι, κατὰ τῶν ἐναντίων ἑκάστοτε·

„Ἅπαντες, ἐν τῷ πανσέπτῳ Τεμένει, τὴν Μνήμην ὑμῶν Πάντιμοι, συναθροισθέντες τελῦμεν, τῇ Θεοτόκῳ βοῶντες·

Θεοτοκίον.

Σῶσόν με Ἁγνὴ, Σωτῆρα κυήσασα, καὶ πανοικτίρμονα, οἶκτειρον τὸν δῦλόν σε, πρὸς μετανοίας ὁδὸς κατεύθυνον, τῦ πονηρῦ τὰ σκάνδαλα, ἐκ μέσῦ ποίησον, καὶ ἐνέδρας, τῆς αὐτῦ με λύτρωσαι, Θεοτόκε πιστῶν ἡ βοήθεια·

Ἄλλος· Ἐξέξη ἐπὶ τῦτῳ ὁ ἀρανός.

„Μεγάλυνον ψυχή μῦ, τὸν ἐκ τῆς Περσίδος, ὁρμώμενον ὁπλίτην, τὸν καταβαλόντα τὸ φρύαγμα τυράννε.

Τὴν πάνσεπτον Τριάδα συμβολικῶς, ἐξεικόνισας Μάρτυς πολύαθλε, σὺ ἐκβοῶν, τύραννε ἂκ οἶσθα ὅπως ἐσμὲν, εἷς τῷ ἑνὶ συνδέμενοι; ἕκαστος δὲ πάλιν

ΜΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Φρονοῦντες ἐν; ὁρῶν δὲ τὸ τριταῖον, ἡμῶν ὂν ἐνιαῦτον, καὶ τῶν τριῶν ταχὺ ἀπόσηθι· „ Μεγάλυνον ψυχή μυ, τὸν ὑπενεγκόντα, βασάνες πολυτρόπες, καὶ ἀκλινῆ ὀφθέντα, τὸν Μανουὴλ τὸν Μέγαν.

Ἠθέλχθης τῦ Δεσπότυ ταῖς καλλοναῖς, ὧν ἁδὲν ὡραιότερον ἔνδοξε, καὶ τῆς αὐτῦ σπεύδων ἀπολαύειν διηνεκῶς, καὶ εὐπρεπῶς λαμπρότητος, ξίφει ἐκτεμεῖν σε τὴν Κεφαλὴν, ἠρέθισας διώκτην, πυρώμενος τῷ πόθῳ, Θεῖε Μανουὴλ τῦ Κυρίυ σε· Δόξα.

„ Κυρίε Ἀθλοφόρε, Μανουὴλ τρισμάκαρ, πρέσβευε ἀπαύσως, ὑπὲρ τῶν ἐκτελούντων, τὴν πάνσεπτόν σε Μνήμην·

Ὡς μέγιστον τὸ κλέος σε Ἀθλητὰ, καὶ ἡ δόξα καὶ χάρις ἣν ἔλαβες, παρὰ Θεῦ, πᾶσαν ἐγκωμίων ὑπερνικᾷ, σύνθεσίν τε καὶ δύναμιν, λόγε ἐφυμνίε ἀλλ' εὐμενῶς. τὸ εὐτελές μυ τῦτο, δῶρον δέξαι καὶ δός μοι, ταῖς σαῖς πρεσβείαις τὴν ἀντάμειψιν·

Καὶ νῦν. „ Παντάνασσα Παρθένε, ἐλπὶς ἀπηλπισμένων, ἱκέτευε σωθῆναι, τὰς πίστει προσκυνοῦντας, τὸν ἄφρασόν σε Τόκον. Θεοτοκίον.

Σωτῆρα ὡς τεκοῦσα καὶ Λυτρωτὴν, σωτηρίας με Κόρη ἀξίωσον, ἐπιτυχεῖν, Πάναγνε πταισμάτων μυ τὰς σειρὰς, ταῖς σαῖς πρεσβείαις λύσα· πάντα γὰρ ὡς θέλεις νῦν κατορθοῖς, ὡς Φέρουσα ἐν κόλποις, τὸν πάντων Βασιλέα, τὸν ἀγαθότητι ἀσύγκριτον· Καταβασία.

„ Ἅπας γηγενὴς, σιρτάτω τῷ Πνεύματι, λαμπαδ-

„παδηχούμενος· πανηγυριζέτω δὲ, αὐλῶν Νόων Φύ-„σις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν, τῆς θεομή-„τορος· καὶ βοάτω, χαίροις παμμακάριστε, Θεο-„τόκε Ἁγνὴ ἀειπάρθενε.

Ἐξαποστειλάρια· Τοῖς Μαθηταῖς συνέλθωμεν.

Μανουὴλ ὁ πανένδοξος, Ἰσμαὴλ ὁ γενναῖος, καὶ Σαβὲλ ὁ ἀείμνηστος, τῦ Χριστῦ τῇ ἰσχύϊ, ἐνήθλησαν καὶ τὴν πλάνην, τῦ τυράννυ καθεῖλον, ὑπὲρ ἡμῶν πρεσβεύοντες, τῇ ἁγίᾳ Τριάδι, ὃς εὐσεβῶς, ἐγκωμίων ἄσμασιν εὐφημοῦντες, φαιδρῶς πανηγυρίσωμεν, τὴν σεπτὴν τούτων Μνήμην.

Δόξα. Γυναῖκες ἀκουτίσθητε.

Μανουὴλ τῦ Θεόφρονος, καὶ πανενδόξυ Μάρτυρος, αὕτη ἐπῆλθεν ἡμέρα, τῆς Πανηγύρεως ἣν περ, λαμπρῶς νῦν ἑορτάσωμεν, ὑπὲρ Χριστῦ γὰρ ἤθλησε, καὶ ἐγερθῶμεν τάχισα, ὦ Φιλομάρτυρες πάντες, πρὸς ἀρετῶν εὐκαρπίαν· Καὶ νῦν Θεοτοκίον ὅμοιον.

Καὶ σχετικῶς ἀσπάζομαι, καὶ πόθῳ τὴν προσκύνησιν, προσνέμω πίστει καὶ Φόβῳ, τῇ Παναχράντῳ καὶ Θείᾳ, Εἰκόνι σε Πανάμωμε, ἀφ' ἧς ψυχῶν ἐκβλύζουσι, καὶ τῶν σωμάτων Δέσποινα, ἰάματα τοῖς ὑμνοῦσι, σὲ θεοτόκον κυρίως· Εἰς τὰς Αἴνους· ψάλλοντες τὸ Πασαπνοάριον ὅλον, ἐξῶμεν στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἦχος πλ. δ'. Ὦ τῆς παραδόξυ θαύματος.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΔΗΜΗΤΡΙΟΣ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Ὦ τῦ παραδόξυ θαύματος! ἐν ἀρανῷ καὶ ἐν γῇ, ἀγαλλίαμα σήμερον, ἐν τῇ Μνήμῃ ἤυγασαι, Μανυὴλ τῦ παμμάκαρος, ἐκ τῶν Ἀγγέλων, ἐπαίνοις ςέφεται, καὶ ἐξ ἀνθρώπων, ἄσματα δέχεται· ὧν οἷον ἤθλησε, πῶς καλῶς ἠγώνισαι, δι' ὃ ἐχθρὸς, πέπτωκεν ὁ δόλιος, Χριςῦ νικήσαντος·

Πᾶσαν τὸ ἐχθρὸ τὴν ἔφοδον, καὶ τὰς τυράννυ ὁρμὰς, καταλύσας τῇ χάριτι, τὸν τῆς νίκης ςέφανον, ἀνεδήσω πανόλβιε, τῆς ἀκηράτυ ἀγαλλιάσεως, καὶ τῆς ἀΦράςυ καταξιώμενος, Θείας ἐλλάμψεως, ἔνθα νῦν γενόμενος, ἁμαρτιῶν, αἴτησαι τὴν ἄΦεσιν, τοῖς εὐΦημοῦσί σε.

Ὦ τῦ παραδόξυ θαύματος! ὑπὲρ Χριςῦ λογχευθεὶς, Μανυὴλ ὁ τρισόλβιος, πρὸς ἐχθροὺς ἑκάστοτε, ῥομΦαία ἄΦθη δίςομος, ἀποθερίζων, ἐχθρῶν γαυρίαμα, καὶ καταράσσων, δαιμόνων Φρύαγμα· ᾧ ἐκβοήσωμεν, Μανυὴλ πολύαθλε, σκέπε ἡμᾶς, σὺ τὴν ἀεισέβαςον, Μνήμην γεραίροντας.

Πάθει τὸ πάθος μιμούμενος, τὸ ζωηΦόρον Χριςῦ, παρ' αὐτῦ τὴν ἐνέργειαν, τῶν θαυμάτων ἔλληΦας, Μανυὴλ ἀξιάγασε, καὶ διασώζεις, τοὺς σοὶ προσρέχοντας, πολλῶν κινδύνων, αὐτοὺς ῥυόμενος, ἔχων εὐάρεςον, παῤῥηςίαν Ἔνδοξε πρὸς τὸν Χριςὸν, ᾧ καὶ νῦν παρίςασαι, δόξης πληρούμενος.

Δόξα ἦχος πλ. β'.

Προοί-

Προοίμιον τυπικῶς, τῆς τρισσοΦεγγοῦς ὑμῶν ὁμονοίας, καὶ ἐν Χριςῷ μαρτυρίας τῆς ἀκηράτυ Τριάδος, καὶ ὑπερσίυ Μονάδος Ἀθληταὶ, οἱ ἐν Περσίδι ἄΦλεκτοι συντηρηθέντες, τρεῖς παῖδες γεγόνασιν· ὡς γὰρ ἐκεῖνοι Φλογὸς κατετόλμησαν, εἰς Θεὸν μὴ ὑβρίσαντες, ἕτω καὶ ὑμεῖς θανεῖν ὑ παρητήσασθε, μὴ ὑπενδόντες τῇ τῦ Χριςῦ ἀγαπήσει· ἀλλ' ὡς ἐκείνυς ὁ Φανεὶς τέταρτος ἐν τῇ Φλογὶ ἐδρόσιζεν, ἕτω καὶ ὑμᾶς Χριςὸς, ὁ εἷς τῆς Τριάδος, προσεδέξατο ἐν τόπῳ ἀναψύξεως, Μανυὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ ἃ θεόληπτοι· πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαςήσασα τὸν καρπὸν τῆς ζωῆς· σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τῶν ἈθλοΦόρων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία Μεγάλη.

Μεθ' ἣν τὰ δύο Ἀπολυτίκια τῶν Ἁγίων, καὶ τῦ Τῆ Γαβριὴλ ΦθεγξαμένυΣ· καὶ Ἀπόλυσις· ἡ Ἀκολουθία Τῶν ὡρῶν· ὁ Ἁγιασμὸς μετὰ τῶν τριῶν Εὐχῶν· Ζήτει αὐτὰς μετὰ τὸ Μαρτύριον τῦ ἁγίυ νεομάρτυρος Μανυὴλ τῦ Κρητὸς· καὶ ἡ Λιτανεία· κατὰ τὴν τῦ Α'. Τυπικῦ ἑρμηνείαν.

ΕἸΣ ΔΕ᾽ ΤΗ᾽Ν ΛΕΙΤΟΥΡΓΙ᾽ΑΝ.

Τὰ Τυπικὰ· καὶ εἰς τὸς Μακαρισμὸς, ἰξῶμεν ςίχυς ἡ'. ἦχος πλ. δ'. Οὐρανίας ἀψίδος· Στίχοι.

„Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΤΡΩΝ ΔΙΟΡΙΣ ΠΑΠΑΣΤΑΤΟΥ

Τῇ εἰρκτῇ ἐγκλεισθέντες, τυραννικῷ δόγματι, ἐν ἀγαλλιάσει, προφητικῶς συνεψάλατε, καὶ συνῳδὰ τῷ Δαβίδ, μελωδικῶς ἐβοᾶτε· τῷ Κυρίῳ δεῦτε ἀγαλλιασώμεθα. „Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Καρτερῶς ἐναθλῆντες, ὦ Ἀθληταὶ ἔνδοξοι, Κεφαλὰς καὶ Νῶτα, ἀποτόμως τοῖς ἥλοις ἐτρώθητε· μὴ δειματούμενοι δὲ, φρυαττομένῃ τυράννῳ, τὸν τῆς νίκης στέφανον καθυπεδέξασθε.

„Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Ξένον θαῦμα ὡράθη, ἐν τῇ τομῇ ὑμῶν Ἔνδοξοι· ἡ γῆ γὰρ ἐαγεῖσα, τὰ κλεινὰ ὑμῶν σώματα δέδεκται, εὐλαβυμένη φρικτῶς· φόβῳ διὸ συσχεθέντες, οἱ τῆς πλάνης πρόμαχοι, φεύγοντες ᾤχοντο·

„Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν.

Τῶν πιστῶν δεομένων, μετὰ θερμῆς πίστεως, ἡ γῆ παραδόξως, ἐν δυσὶν ἡμέραις ἀνέδωκε, τὰ Θεῖα σκήνη ὑμῶν, τῶν Καλλινίκων Μαρτύρων, εὐωδίαν ἄῤῥητον πνέοντα ἅπασι· Ὁ αὐτὸς· Γλάσθητί μοι Σωτήρ.

„Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ.

Νυγέντων σε τῶν πλευρῶν, ἀδάμας ὤφθης στερρότατος, τὸν ὑπὲρ σοῦ ἐν Σταυρῷ, νυγέντα μιμούμενος, Μανουὴλ πολύαθλε· ὅθεν ἐπαξίως, παρ' αὐτοῦ χάριν

ριν ἀπείληφας. „Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Δοξάζω καὶ προσκυνῶ, τῶν σῶν ἀγώνων τὰ σήγματα, καὶ δέομαί σε θερμῶς, πρεσβεύειν πρὸς Κύριον, ἄφεσιν δοθῆναί μοι, τῶν ἁμαρτημάτων, οἷς ἀφρόνως ἐπλημμέλησα· Δόξα.

Ὁ Παντοκράτωρ Θεὸς, καὶ μόνος ἀπεριόριστος, ἐνοίκησον ἐν ἐμοὶ, δι' ἄφατον ἔλεος, Τρισήλιε Δέσποτα, καὶ κατάυγασόν με, καὶ συνέτισον ὡς εὔσπλαγχνος· Καὶ νῦν Θεοτοκίον.

Ναὸς ἐδείχθης Θεῷ, τὸ Ἀχωρήτῳ Πανάχραντε, ναὸν καὶμὲ τῆς αὐτῷ, δεῖξον Θείας χάριτος, Παναγία Δέσποινα, τῶν τῶν Ἀθλοφόρων, ἱκεσίαις παναμώμητε. Μετὰ δὲ τὴν Εἴσοδον, Τροπάρια·

Τοὺς τρεῖς ἐνδόξους ἀστέρας· Οὓτ' ἀπειλῶς τῷ τυράννῳ· Τῇ Ἁγίᾳ τῆς Μονῆς· Κοντάκιον· Οἱ τρεῖς Θεῖοι Μάρτυρες· δόξα· Τῶν τῷ τυράννῳ ἀπειλῶν· καὶ νῦν θεοτ· Προσασία τῶν χριστιανῶν· τὸ Τρισάγιον· καὶ τὸ Κύριε σῶσον τοὺς Εὐσεβεῖς· σὺν τῷ, Καὶ ἐπάκουσον ἡμῶν· (τρὶς.) εἶτα ὁ Ἀπόστολος.

Προοίμιον ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ· Στίχος· Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοὶ, ἐνδυναμοῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ· ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς

„Ζήτει εἰς Ἀπόστολον τῇ ΚΖ'. Κυριακῇ.

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

πρὸς τὸ δύνασθαι ὑμᾶς ζῆναι πρὸς τὰς μεθοδείας τὲ διαβόλε· ὅτι οὐκ ἔστιν ὑμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τὲς κοσμοκράτορας τὲ κόσμε τὲ αἰῶνος τέτε, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις· διὰ τὲτο ἀναλάβετε τὴν πανοπλίαν τὲ Θεὲ, ἵνα δυνηθῆτε ἀντιζῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ· καὶ ἅπαντα κατεργασάμενοι ζῆναι· ζῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τὰς πόδας ἐν ἑτοιμασίᾳ τὲ Εὐαγγελίε τῆς εἰρήνης· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίσεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τὲ πονηρὲ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν περικεφαλαίαν τὲ σωτηρίε δέξασθε, καὶ τὴν μάχαιραν τὲ Πνεύματος, ὃ ἐστι ῥῆμα Θεὲ.

Ἀλληλούϊα ἦχος δ'. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος ἐσήκεσεν αὐτῶν· Στίχος· Πολλαὶ αἱ θλίψεις τῶν δικαίων· Εὐαγγέλιον.

Ἐκ τὲ κατὰ Λεκᾶν.

„Τὸ τῆς Λειτουργίας τὲ Ἁγ. Γεωργ.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτὲ Μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλες· εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν· εἰ ἐκ τὲ κόσμε ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τὲ κόσμε οὐκ ἐστὲ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τὲ κόσμε, διὰ τὲτο μισεῖ ὑμᾶς ὁ κόσμος· μνημονεύετε τὲ λόγε, ὃ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δῦλος μείζων τὲ Κυρίε αὐτὲ· εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώ-

ξεσιν· εἰ τὸν λόγον με ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσεσιν· ἀλλὰ ταῦτα πάντα ποιήσεσιν ὑμῖν διὰ τὸ Ὄνομά με, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με· εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον, νῦν δὲ πρόφασιν οὐκ ἔχυσι περὶ τῆς ἁμαρτίας αὐτῶν· ὁ ἐμὲ μισῶν, καὶ τὸν Πατέρα με μισεῖ· εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ Ἐμὲ καὶ τὸν Πατέρα με· ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι ἐμίσησάν με δωρεάν· ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τὲ Πατρὸς, τὸ Πνεῦμα τῆς Ἀληθείας, ὃ παρὰ τὲ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμὲ· καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμὲ ἐστὲ· ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε· ἀποσυναγώγυς ποιήσεσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ·

Κοινωνικὸν· Εἰς μνημόσυνον αἰώνιον· καὶ μεταλαμβάνομεν τῶν Ἁγίων τὲ Χριστὲ Φρικτῶν Μυστηρίων· ἡ Εὐλόγησις τῶν εἰς τιμὴν τῶν Ἁγίων προτιθεμένων Κολύβων· ἐν ᾗ τὰ δύο Ἀπολυτίκια τῶν Ἁγίων τὰ ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, καὶ τὰ δύο Κοντάκια αὐτῶν· τὸ Εὐλογία Κυρίε καὶ ἔλεος· καὶ τὰ λοιπὰ ὡς ἔθος, καὶ Ἀπόλυσις.

Δίδοται καὶ ἅγιον Ἔλαιον ἐκ τῆς Κανδήλας τῶν Ἁγίων τοῖς Ἀδελφοῖς, ψαλλομένων τῶν ἰδιομέλων τῶνδε· ἦχος β'.

Δεῦτε πιστοὶ συνελθόντες, τὴν τρισάριθμον χορείαν

τῶν γενναιοτάτων Ἀὐταδέλφων εὐφημήσωμεν, καὶ θεηγόροις ἄσμασιν ἐγκωμιάζοντες, ὅτως ἔπωμεν· χαίρετε λαμπτῆρες τρισσόλεκτοι, οἱ τὴν πλάνην τῶν εἰδώλων εἰς χάος βυθίσαντες, καὶ τὰς τῶν γλυπτῶν θιασῶτας εὐθαρσῶς ἀπελέγξαντες· χαίρετε τῆς Τριάδος ἰσάριθμοι, οἱ τῆ παραβάτᾳ τὸ ῥεῦαγμα ἀνδρικῶς καταβαλόντες, καὶ ποικίλας βασάνους σεβῶς ὑπομείναντες· χαίρετε ὁπλῖτῳ ἀλκιμώτατοι, οἱ τῆ δολίᾳ βελίαρ τὸ σύσημα εὐθυβόλως ἀκοντίσαντες, καὶ τὴν ὀφρῦν αὐτῆ εἰς τέλος κατατροπώσαντες, τῆ ἐν σαδὶμ ὑμῶν ἀθλητικωτάτῃ καρτερίᾳ· ἀνθ' ὧν καὶ παρὰ Χριστῆ τὰ βραβεῖα τῆς νίκης ἐπαξίως ὑπεδέξασθε· ὅθεν καὶ παῤῥησίαν πρὸς αὐτὸν κεκτημένοι, μὴ διαλείποιτε πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν· ἦχος δ.

Ἐπιγνόντες Ἀδελφοὶ τῶν ἀηττήτων Μαρτύρων τὰ κατορθώματα, ἐπὶ τῆ πανσέπτῳ αὐτῶν Μνήμῃ εὐσεβῶς πανηγυρίσωμεν· ὅτοι γὰρ ὑπὲρ Χριστῆ πρὸς πάθος αὐτομολήσαντες, καρτερῶς ὑπήνεγκαν τῶν βασάνων τὸ ἰταμώτατον· εἱρκτῆ ἐγκλεισθέντες, καὶ βυνεύροις ἀφειδῶς ἀκισθέντες, χεῖράς τε καὶ πόδας ἰκρίῳ προσπαγέντες, σιδηροῖς ὄνυξι καταξέονται· ἐφ' ὧν καὶ Ἀγγέλᾳ ὀπτασίαν ἐνισχύοντος αὐτὸς ἰδεῖν κατηξιώθησαν· λαμπάσι δὲ πυρὸς τὰς μασχάλας ἐκκαέντες, Κεφαλάς τε καὶ νῶτα τοῖς ἥλοις διαπαρέντες, καλάμοις ὀξέσι τοῖς ὄνυξιν ἐνεπήγησαν, καὶ τὰς Κεφαλὰς εἰς τέλος προσευχόμενοι

μενοι ἐναπετμήθησαν· ὅθεν καὶ φωνὴ Οὐρανόθεν ἠκούσθη λέγουσα· Δεῦτε τὰς στεφάνους τῆς δόξης λῆψόμενοι, καὶ τῆς Μακαρίας Ζωῆς ἐπαπολαύσοντες· καλῶς γὰρ ὑμῖν τῶν ἀγώνων ὁ δρόμος τετέλεσται· διὸ παμμακάριστοι καὶ πολύαθλοι, μὴ παύσητε πρεσβεύειν ὑπὲρ τῶν ἐκτελούντων εὐλαβῶς, τὴν Μνήμην ὑμῶν τὴν σεβάσμιον· ἦχος πλ. ά.

Μέγα καὶ παράδοξον σήμερον ἐτελεσιουργήθη τεράστιον, ἐν τῆ σεπτῆ πρὸς Κύριον ἐκδημήσει τῶν παμμεγίστων Ἀθλοφόρων· ἡ γῆ γὰρ πιανθεῖσα τοῖς Μαρτυρικοῖς αὐτῶν αἵμασιν, ἐμφρόνως ἠδέσθη, καὶ τὰ πάντιμα αὐτῶν σκηνώματα, ὡς θησαυρὸν πολύτιμον βαγεῖσα ἐναπέκρυψε· τῆ δὲ τῶν πιστῶν ἐν προσευχαῖς προσκαρτερήσει, καὶ ἀδιαλείπτῳ παρακλήσει, παραδόξως αὖθις ἐκ τῶν μυχῶν αὐτῆς, ὡς ἀειθαλῆ καὶ εὐώδη κρῖνα ἀνεβλάστησε, τοῖς σύμπασι χαρὰν καὶ εὐωδίαν ἄῤῥητον ἐναποσάζοντα, καὶ ὁσημέρῳ ψυχῶν τε καὶ σωμάτων τὰς ἰάσεις παρέχοντα· αἰσχύνθητι ἀκὴν Γαλιανὲ παρανομώτατε, ψεύδους ἔκγονε, ὁ ἀφ' ἡμῶν στερῆσαι τῶν πολυτιμήτων τούτων θησαυρῶν προλογισάμενος· ὁ γὰρ Θεὸς καὶ ὑπὲρ Φύσιν δοξάζει τὰς αὐτὸν ἀντιδοξάζοντας· ὅθεν ἡμεῖς αὐτῶν εὐπορῶντες, καὶ πρεσβευτὰς πρὸς Κύριον ἀκαμάτους ἔχοντες, ἀπὸ πάσης προσβολῆς ἐναντίας σῳζόμεθα· ἦχος βαρύς.

Τὰς Ἀθλοφόρους τῆ Χριστῆ, καὶ μεγίστας ἐν Μάρτυσιν, οἱ εὐσεβεῖς καὶ ὁμώνυμοι, θεοφιλῶς ἑορτάσωμεν·

ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σωμεν· ἔτοι γὰρ πανσόφως τὴν πατρικὴν θρησκείαν βδελυξάμενοι, τὴν μητρῴαν εὐσέβειαν ὁλοψύχως ἐνεκολπώσαντο· ἣν καὶ τυράννε ἐνώπιον τρανῶς ὁμολογήσαντες, γενναίως τὰς βασάνες ὑπήνεγκαν· ὅθεν καὶ παῤῥησίαν πρὸς Θεὸν κεκτημένοι, ἀ διαλείπτως πρεσβεύειν, ὑπὲρ τῶν ἑορταζόντων σεμνῶς τὴν Μνήμην αὐτῶν τὴν σεβάσμιον·

Δόξα ἦχος πλ. δ'.

Πρόμαχε τῆς εὐσεβείας, Μανυὴλ Μαρτύρων ἐγκαλλώπισμα· σὺ τὸν παραβάτην τύραννον τολμηρῶς διήλεγξας, τοῖς γλυπτοῖς καὶ ἀψύχοις μὴ πείθεσθαι· ὁ δὲ παράφρων καὶ παρανομώτατος, διὰ ῥημάτων κολακείας, ἔσπευδεν ὑποσκελίσαι σε, καὶ ποικιλίαις ἐκφοβῆσαί σε βασάνων· σὺ δ' ὡς ἀδάμας ῥεῤῥὸς, ἀκλινὴς καὶ ἄκαμπτος ἐν πᾶσι τούτοις προσκαρτερήσας, καὶ τὴν ἐν τρισὶ σώμασιν ἀχώριστον σύνδεσμον, καὶ τὴν ὁμόψυχον καὶ ὁμόφρονα τῆς τρισαρίθμε ἀδελφότητος γνώμην, τὴν Φύσεως ἀκολουθίᾳ καὶ πίστεως συζευχθεῖσαν, τρανῶς καθυποδείξας, τὴν Τρισυπόστατον Θεότητα ἐξεικόνισας· διὸ καὶ καλάμοις ἐνειλιθεὶς κατασφίγγῃ, καὶ λόγχαις τὰς πλευρὰς κατακεντᾷ, τὸν ὑπὲρ σὲ λογχευθέντα ἐν Σταυρῷ, ἀριδήλως μιμούμενος· ᾧ πρέσβευε διηνεκῶς σὺν τοῖς Συνάθλοις σε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος· Καὶ νῦν Θεοτοκίον.

Ἀκαταίσχυντε ἐλπὶς, πάντων τῶν Ὀρθοδόξων, μεσιτεία τῶν γενναιοτάτων Ἀθλοφόρων, ἀδιαλείπτως πρέσβευε, τῷ σῷ Υἱῷ καὶ Δεσπότῃ, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε·


Ἀργία, καὶ Κατάλυσις Οἴνε καὶ Ἐλαίε.

Στίχοι πρὸς τὰς Ἁγίας Μάρτυρας Μανυὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ· ὧν ἡ Ἀκροστιχὶς.

Χαῖρε Τριὰς Μαρτύρων.

Χοροὶ Ἀθλητῶν, καὶ Ἁγίων ἁπάντων,
Ἄγανται ὑμᾶς, τῶν λαμπρῶν παλαισμάτων·
Ἰσμαὴλ, Σαβὲλ, Μανυὴλ τρεῖς ὁπλῖται!
Ῥάθροις γὰρ Θείων ὑμετέρων αἱμάτων,
Ἐλάμψατε τρεῖς, ὡς Φωστῆρες ἐν κόσμῳ·
Τύπος τῆς Μορφῆς τῶν Ἀθλοφόρων ἔτος,
Ῥεῖ δὲ ἐξ αὐτῆς χάρις ἡ τῶν θαυμάτων·
Γλεων ἄκεν, πιστὸς ἅπας βοάτω,
Ἅγιοι Θεὸν ποιήσατε ἐν Κρίσει·
Στρεβλὰ γὰρ ἔργα οἱ τάλανες ποιεῦμεν·
Μανυὴλ σοφὲ σὺν σοῖς Ὁμομητρίοις,
Ἄρας πρὸς Χριστὸν σὰς χεῖρας θερμῶς δέε,
Ῥύσασθαι χειρῶν τὸ ἐχθρὸν ψυχὰς πάντων,
Τῶν πόθῳ ὑμᾶς ἐτησίως αἰνούντων·
Ὑπὲρ γὰρ Χριστὸ Φέροντες πῦρ καὶ ξίφος,
Ῥορφαία καὶ πῦρ, ἐστὲ κατὰ δαιμόνων·
Ὠκεῖα τριὰς πρὸς βοήθειαν πάντων,
Νεῦσον εὐμενῶς καὶ τῆ ἡμῶν δεήσει·

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΠΑΛΑΙΟΤΥΠΟΓΡΑΦΙΚΟ ΑΡΧΕΙΟ ΙΩΑΝΝΟΥ ΚΑΙ ΓΕΩΡΓΙΟΥ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Προσόμοιον ψαλλόμενον παρὰ τῶν ἱερέων δίς· α΄. ὅτε αἴροντες τὸν ἱερὸν Ἐπιτάφιον τῶν Ἁγίων ἐκ τῆ ἱερῆ Βήματος, ἐκβάλλουσιν αὐτὸν ἐν μέσω τῆς Ἐκκλησίας· καὶ β΄. ὅτε ἐξέρχονται μετ' αὐτῆ πρὸς τὸ ποιῆσαι τὸν Ἁγιασμόν· ἦχος β΄. πρὸς τὸ,

Ὅτε ἐκ τῆ Ξύλε σε νεκρόν.

Ὅτε τῶν Μαρτύρων τὰς σεπτὰς, παρανόμως ἔτεμε Κάρας ὁ Ἰταλιανὸς, τότε γῆ ἐνέκρυψε, τὰ σεπτὰ σώματα, καὶ οἱ δήμιοι ἔφυγον· λαὸς δὲ πιστεύει, βλέπων τὸ παράδοξον τῆτο τεράστιον· ὅμως ταῖς δεήσεσι τῆτε, πάλιν ἀναβρύει γῆ ταῦτα, ἃ οἱ εὐσεβῆς λαμπρῶς ἐκήδευσαν·

Τροπάρια ψαλλόμενα παρὰ τῶν ἱερέων καὶ χορῶν δίς· α΄. ἀεγῶς μετὰ τὴν ἐπὶ τῆ Κεβακλίε ἐπίθεσιν τῆ ἱερῆ Ἐπιταφίε· καὶ β΄. μετὰ μίλες μετὰ τὸν Ἁγιασμὸν Λιτανείας γινομένης περὶ τὸν Ναόν· ἦχος β΄. πρὸς τὸ,

Ὁ εὐσχήμων Ἰωσήφ.

Ἐξελθόντα ἐκ τῆς γῆς, τὰ σεπτὰ λείψανα ὑμῶν, ἀῤῥήτῳ εὐωδίᾳ, ἐν φόβῳ καὶ χαρᾷ, ᾠδαῖς τε καὶ ἀρώμασι, λαμπρῶς οἱ Εὐσεβεῖς, λαβόντες ἐκήδευσαν.

Δόξα πρὸς τὸ, Ὅτε κατῆλθες πρὸς τὸν θάνατον.

Ὅτε ἀνῆλθες Μανυὴλ, σὺν τοῖς Ὁμαίμοσι σοφὲ, εἰς ἁρπαγὴς τροπαιῦχος, τότε καὶ ὁ παραβάτης δικαίως, τὴν κατὰ τῶν σπλάγχνων πληγὴν δέχεται ἀοράτως· ὅτε δὲ καὶ τὰς περιεῶτας ἐφώτισας, Ἄκτιστον σέβειν Τριάδα, πάντες οἱ φωτισθέντες πιστῶς ἐβόων· ὁ διὰ τῶν Μαρτύρων σε τῆς πλάνης σώσας ἡμᾶς, Χριστὲ ὁ Θεὸς δόξα σοι·

Καὶ νῦν θεοτοκίον πρὸς τὸ,

Ταῖς Μυροφόροις Γυναιξί.

Γᾶς μυροθήκαις τῶν σεπτῶν Λειψάνων, πάντες Εὐσεβεῖς, πίστει θερμῇ ἐβόων· ὦ Δέσποτα ἡμᾶς, πιστεύσαντας πρόσδεξαι, πρεσβείαις τῆς σῆς Μητρὸς, καὶ τῶν Ἀθλοφόρων σε· Καὶ ἀρχόμεθα ψάλλειν τὴν α΄. Στάσιν τῶν Ἐγκωμίων. Ἐγκώμια πρὸς τὰς τρεῖς Καλλινίκας Αὐταδέλφες ψαλλόμενα ἐνώπιον τῆ ἱερῆ Ἐπιταφίε τῶν Ἁγίων ἀμέσως μετὰ τὰ ἄνωθεν Τροπάρια.

Στάσις α΄. ἦχος πλ. α΄. πρὸς τὸ, Ἡ Ζωὴ ἐν Τάφῳ· ἄρχονται οἱ ἱερεῖς.

Ὦ Τριὰς Ἁγία, καὶ Μονὰς ὁ Θεὸς, ταῖς πρεσβείαις τῶν τριῶν Ἀθλοφόρων σε, τάτας λόγομοι, δοξάσαι αὐτὸς δός·

Μα-

ΑΓΙΟΡΕΙΤΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΕΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Μανηὴλ πολύτλα, Γσμαὴλ καὶ Σαβὲλ, τὰς ἀγῶνας ὑμῶν ἆσαι ἐθέλοντι, γνῶσιν Θείαν μοι παράσχοιτε ταχύ.

Μακαρίζομέν σε, μακαρία τριὰς, τὴν κηρύξασαν Τριάδα τὴν Ἄκτιστον, καὶ δοξάζομεν τὴν Ἄθλησιν τὴν σήν.

Μακαρίζομέν σε, ὦ πολύτλα τριὰς, πρὸς Χρισὸν ἀποτμηθεῖσαν τρισόλβιε, τὰς σὰς Κάρας, ἐριτίμως καὶ σεπτὰς. ἡ Ἀκροστιχὶς κατὰ Ἀλφάβητον.

Ἀνταμείβεις πάντας, Μανηὴλ ἐκλεκτὲ, τὰς τελοῦντας τὴν πανέορτον Μνήμην σε, εὐλαβῶς ταῖς σαῖς πρὸς Κύριον εὐχαῖς.

Βέλη πῦρ καὶ ξίφος, καὶ καλάμης ὀξεῖς, ὑπομείνας δι' ἀγάπην τῆ Κτίσε σε, τὰς σεφάνης νῦν λαμβάνεις παρ' αὐτῆ.

Γένη Ὀρθοδόξων, σὺν Ἀγγέλων χοροῖς, πόλος ἄσρα καὶ στοιχεῖα φωτῆρές τε, ὁμοφώνως νῦν δοξάζεσιν ὑμᾶς.

Δός μοι σῶν χαρίτων, θεσπεσία τριὰς, τὰς ψεκάδας ὅπως ἄσω τὰς ἄθλης σε, κατ' ἀξίαν ὃς ὑπέρης ἀνδρικῶς.

Εὐσεβὴς ἡ μήτηρ, καὶ οἱ ταύτης βλασοὶ· ὁ δὲ Φὼς τῆ ἀσεβείᾳ ἐνέμεινε· ταύτης πάντας τὰς πιστὰς ῥῦσαι Χριστὲ.

Ζῆς

Ζῆς τριὰς θαλάμοις, ὐρανίοις Θεῆ· βδελυχθεῖσα γὰρ Περσῶν τὰ σεβάσματα, ἐβαπτίσθης εὐσεβῶς Εὐνοϊκῆ.

Ἡμβλυνας τρισμάκαρ, τῆ Γελιανῆ, ἐν σαδίῳ ἀδεῶς τὰ ληρήματα, τὴν Τριάδα παρασήσασα σοφῶς.

Θανατοῖς τὰς πρέσβεις, ὦ Γελιανὲ, παρανόμως παραβάτα καὶ δόλιε· ἀλλ' ἀπέληφας θεόθεν τὰς ποινάς.

Ἰσμαὴλ γενναῖε, τῆς Περσίας βλασὲ, καὶ τῆς Θράκης τὸ ἀκλόνητον ἔρεισμα, σῶσον πάντας τὰς προσρέχοντας πρὸς σὲ.

Κάτω νενευκῖα, ἡ γενναία τριὰς, παραβάτε τοῖς εἰδώλοις λατρεύοντος, τῆ Θεῆ ἐπεκαλεῖτο τὴν ἰσχύν.

Λίαν ἀπτοήτως, ὡμολόγεις σαφῶς, ὦ τριὰς γενναιοτάτη ἐνώπιον, τῆ τυράννε ἐν Τριάδι τὸν Θεόν.

Μανηὴλ δοχεῖον, τῆς Τριάδος κλεινὸν, τῆ Πατρὸς καὶ τῆ Γιῆ καὶ τῆ Πνεύματος, ταύτην ἴλεων ἀπέργασαι ἡμῖν.

Ναζωραίε νύμφη, μακαρία τριὰς, τριφεγγὴς τε καθαρὰ καὶ ἀμόλυντος, ἀνεδέχθης ἃ τὸ κάλλος καθορᾷς.

Ξύλῳ προσεπάγης, καὶ τοῖς ἥλοις ὡμῶς, προσε-

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΚΕΝΤΡΟ ΒΙΒΛΙΟΘΗΚΗΣ ΚΑΙ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΔΙΑΜΑΝΤΟΠΟΥΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

πάρης καὶ τὰς χεῖρας καὶ πόδας τε, καὶ τοῖς ὄνυξιν ἐξέσθης Φεῦ δεινῶς.

Ὁ ρασις Ἀγγέλε, τὰς ὀδύνας εὐθὺς, τῶν Μαρτύρων τὰς πολλὰς ἐπεκάφισε, καὶ τὰ σώματα διέθηκε καλῶς.

Παραβάτε νεύσει, καὶ ἀνόμῳ βελῇ, ἰταμῶς παρὰ τεσσάρων αἰκίζεται, βαβαὶ ἕκαστος τῶν Θείων Ἀθλητῶν.

Ῥήτωρ ὐκ ἰσχύει, ὐδὲ γένος βροτῶν, εὐφημῆσαι ἐπαξίως τὰς ἄθλας σε, ἃς ὑπέσης ὦ τριὰς ὑπὲρ Χριςε.

Σαβὲλ γενναιόφρον, ἐπιβλέψας ἰδὲ, τὰς τελῶντας τὸ σεπτόν σε μνημόσυνον, ὧν καὶ πρόσδεξαι δεήσεις εὐμενῶς.

Τρέμω Φεῦ τὴν ὥραν, Ἀθλοφόροι Χριςε, τῆς Ἐξόδε με ἀσώτως διάγοντος, τότε γένοισθε προσάται με θερμοὶ.

Ὑπὲρ πάντας Φρίττω, Ἀδεκάδε Κριτὲ, τὴν Ἡμέραν τῆς τῶν ἔργων ἐτάσεως, τότε ἔνδοξοι προσδράμοιτε ταχύ.

Φρίττει ἅπαν γένος, Ἰσμαὴλ καὶ Σαβὲλ, πῶς τυράννε μηχανὰς διελύσατε, κωμῳδήσαντες τὰ εἴδωλα αὐτῶ;

Χαίροντες γενναῖοι, ταῖς λαμπάσι πυρὸς, τὰς μασχά-

σχάλας καὶ πλευρὰς κατεφλέχθητε, προτιμήσαντες τὴν δόξαν τῦ Θεῦ.

Ψάλλομεν ἐκ πόθε, ὦ πολύτλα τριὰς, τὰς σὰς ἄθλας καὶ ἀγῶνας καὶ σκάμματα, καὶ θαυμάζομεν τὴν Ἄθλησιν τὴν σὴν. Δόξα.

Ὠδὴν ἀναξίαν, ἣν προσνέμω ὑμῖν, τῦ Χριςῦ τοῖς Ἀθληταῖς καὶ προσάταις με, εὐμενῶς αὐτὴν προσδέξασθε σοφοὶ.

Ἀνυμνῦμεν Λόγε, σὲ τὸν πάντων Θεὸν, σὺν Πατρὶ καὶ τῷ Ἁγίῳ σε Πνεύματι, καὶ δοξάζομεν τὰς τρεῖς σε Ἀθλητὰς. Καὶ νῦν Θεοτοκίον.

Μαριὰμ ἐλπίς με, μετὰ τῦ Μανυὴλ, σὸν Υἱὸν Ἐμμανυὴλ καθικέτευε, ὅπως λύσιν ἀποδῷ μοι τῶν παθῶν· Καὶ πάλιν τὸ ά. παρὰ τῶν Ἱερέων.

Ὦ Τριὰς Ἁγία, καὶ Μονὰς ὁ Θεὸς, ταῖς πρεσβείαις τῶν τριῶν Ἀθλοφόρων σε, τότε λόγον μοι δοξάσαι αὐτὸς δός· Εἶτα Συναπτὴ μικρὰ, καὶ Ἐκφώνησις. Ὅτι εὐλόγηταί σε τὸ Ὄνομα, καὶ δεδόξασταί σε ἡ Βασιλεία, τῦ Πατρὸς καὶ τῦ Υἱῦ καὶ τῦ Ἁγίε Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τὲς αἰῶνας τῶν αἰώνων, Ἀμήν· Στάσις β'. ἦχος ὁ αὐτὸς· πρὸς τὸ, Ἄξιόν ἐσι· τὸ ά. ψάλλεται παρὰ τῶν Ἱερέων.

Ἄξιόν ἐσι, μεγαλύνειν σε τὸν ἐν Τριάδι, εὐσεβῶς Θεὸν λατρευόμενον, ὃν ἐκήρυξε Μαρτύρων ἡ τριὰς· τὰ λοιπὰ παρὰ τῶν χορῶν.

Ἄξιόν

Ἄξιόν ἐςι, μακαρίζειν σε τὴν τῶν γενναίων, Ἀθλητῶν τριάδα τὴν ἔνθεον, καὶ ἰσάριθμον Τριάδι τῇ σεπτῇ.

Ἄξιόν ἐςιν, Ἀθλοφόρυς τρεῖς ἐγκωμιάζειν, Μανυὴλ τὸν ὄντως μακάριον, καὶ Σαβὲλ σὺν τῷ πανσόφῳ Ἰσμαὴλ.

Ἄξιόν ἐςι, τὺς τρεῖς Μάρτυρας καὶ Αὐταδέλφυς, εὐλαβῶς ὑμνεῖν ἀνατέλαντας, ἐκ Περσίδος ὡς ἀςέρας φαεινὺς· ἢ Ἀκροσιχὶς κατὰ Ἀλφάβητον.

Ἅπαντες πιςοὶ, προσενέγκωμεν τοῖς Ἀθλοφόροις, τῦ Χριςῦ ἐτήσια ἄσματα, τὰ παλαίσματα κηρύττοντες αὐτῶν.

Βλὰξ τύραννος ὢν, τὺς τρεῖς Μάρτυρας Φερεφὰ ἐγκλείει, ἀλλ' αὐτοὶ συμφώνως ἐκραύγαζον· τῷ Κυρίῳ ἀλαλάξωμεν ψαλμοῖς.

Γέλωτα τρισὶν, Ἀθλητᾶις ὤφλησας ὦ παραβάτα· ὡς ςρυθίον γὰρ κατεπάτησαν, σὲ τὸν πάσης πονηρίας σοφισὴν.

Δεῦτε Ἀδελφοὶ, ἑορτάσωμεν ἔργοις ἐνθέοις, τὺς ἁγίυς Μάρτυρας σήμερον, ὅπως λάβωμεν τὴν λύσιν τῶν κακῶν.

Ἔφραξας σοφῶς, Μανυὴλ τὰ παραβάτα χείλη, παρισῶν Τριάδα τὴν Ἄκτιςον, καὶ ἐδείχθης θεολόγος ἀληθῶς.

Ζήλῳ

Ζήλῳ θεϊκῷ, τῶν Μαρτύρων ἡ τριὰς τὺς ἥλυς, Κεφαλαῖς καὶ Νώτοις ὑφίσατυ, καὶ τοῖς ὄνυξι καλάμυς τὺς ὀξεῖς.

Ἦχυσας φωνῆς, Οὐρανόθεν τῆς Εὐκταιοτάτης, τῷ Θεῷ εὐχὴν ἀναπέμψασα, ἐκπαλάσης πρὸς ἀθάνατον Ζωήν.

Θύονται οἱ τρεῖς, ὑπὲρ τῦ τυθέντος Θεῦ Λόγυ· ἡ γῆ δὲ φρικτῶς ἐκολπώσατο, τὰ Σκηνώματα τῶν Θείων Ἀθλητῶν.

Ἡλιανὲ, τῷ πυρὶ ἐιφῆναι ἐσοφίσω, μάτην τῶν Μαρτύρων τὰ Λείψανα· ὁ Θεὸς γὰρ διετήρησεν αὐτά.

Κρῖνα οἱονεὶ, ἀνεβλάσησεν ἡ γῆ τὰ Σκήνη, Ἀθλητῶν καινῶς πως καμπτόμενα, τῇ δεήσει τῦ πισεύσαντος λαῦ.

Λείψανα σεπτὰ, τῶν Μαρτύρων ὁ λαὸς κηδεύει, πολλῆς εὐωδίας πληρύμενα, καὶ δωρύμενα ἰάσεις τῶν παθῶν.

Μένει Μανυὴλ, τὸ σὸν ὄνομα εἰς τὺς αἰῶνας, αἰνετὸν μετ' ἤχυ δ' ἀπώλετο, τὸ τυράννυ ὥς φησι Θεῖος Δαβίδ.

Νέμεσις Θεῦ, σὲ κατέλαβεν ὅτε τὺς πρέσβεις, παραβάτα Φεῦ ἐθανάτωσας, πληγωθέντα ἀοράτως τὴν πλευράν.

ΕΘΝΙΚΟΝ ΑΡΧΑΙΟΛΟΓΙΚΟΝ ΜΟΥΣΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ξόανα κωφὰ, καὶ τὰ εἴδωλα τῆ ἀποσάτε, Μανηὴλ σοφῶς ἐκωμώδησας, καὶ ἐκήρυξας Τριάδα τὴν σεπτήν.

Ὅπως τῶν παθῶν, ἀπολαύσωμεν ἐλευθερίας, τῆ σῆ νῦν προσρέχομεν Λάρνακι, καὶ λαμβάνομεν τὴν λύσιν Μανηὴλ.

Πᾶσιν εὐμενῶς, Μανηὴλ ἀπόστειλον ταχέως, τὰς αἰτήσεις τοῖς ἑορτάζυσι, σὴν ἐτήσιον καὶ Θέαν Ἑορτήν.

Ῥῦσαι σοὺς εὐχοῦς, τὲς προσφεύγοντας τῷ σῷ Τεμένει, καὶ παρὰ τῆ θέαι λειψάνε σε, αἰτεμένες τὰ ἰάματα πιστῶς.

Σέλας τὸ τριττὸν, τῆς Θεότητος τῆς ἀπροσίτε, σὺ τριὰς Μαρτύρων ἡ ἔνθεος, ἐποπτεύεις εἰς αἰῶνας καθαρῶς.

Τεῖχος ἀῤῥαγὲς, οἱ ὁμώνυμοι καὶ προσασίαν, Μανηὴλ καὶ πρέσβυν εὐπρόσδεκτον, σὲ κεκτήμεθα προσρέχοντες πιστῶς.

Ὑπερθεν ἡμᾶς, ἐποπτεύοντες τὲς ἐκτελῶντας, τὴν ὑμῶν πανήγυριν ἔνδοξοι, ἱκετεύετε Θεὸν ὑπὲρ ἡμῶν.

Φάνητε πραεῖς, Μανηὴλ, Σαβὲλ, Γσμαὴλ Θεῖοι, ἐν τῷ τὴν ψυχήν με χωρίζεσθαι, ἣν λυτρώσατε χειρῶν τῆ πονηρῆ.

Χεῖρας

Χεῖρας πρὸς Χριστὸν, ἐπὶ τῆ Φρικτῆ ἐκείνη ὥρα, οἵμοι τῆς τῶν ἔργων ἐτάσεως, συνεκτείνατε ταχὺ ὑπὲρ ἐμῆ.

Ὥκησας αὐλὰς, Οὐρανῶν τριὰς Θέια Μαρτύρων, καὶ τῶν Ἀθλητῶν Θεῖος ὅμιλος, σὲ προσδέχεται χορῷ τῷ ἑαυτῆ· Δόξα.

Ἄκτισε Τριὰς, σὲ Ὑπέρθεε δοξολογῆμεν, ῥῦσαι ταῖς λιταῖς τῶν Μαρτύρων σε, τὲς πιστεύοντας εἰς σὲ τῆ πονηρῆ· Καὶ νῦν Θεοτοκίον.

Ἄναρχον Θεὸν, ἡ κυήσασα ἀῤῥήτῳ λόγῳ, σὺν τοῖς Ἀθλοφόροις ἱκέτευε, αὐτὸν ἵλεων γενέσθαι ἐφ' ἡμῖν· Καὶ πάλιν τὸ ά. παρὰ τῶν Ἱερέων.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τὸν ἐν Τριάδι, εὐσεβῶς Θεὸν λατρευόμενον, ὃν ἐκήρυξε Μαρτύρων ἡ τριὰς· Εἶτα Συναπτὴ μικρὰ, καὶ Ἐκφώνησις.

Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ Θρόνε δόξης τῶν Χερεβὶμ ἐπαναπαυόμενος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ Ἀνάρχῳ σε Πατρὶ, καὶ τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωαποιῷ σε Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τὲς αἰῶνας τῶν αἰώνων, Ἀμήν·

Στάσις γ'. ἦχος γ'. πρὸς τό, Ἀπὶ γενεαὶ πᾶσαι· τὸ ά. παρὰ τῶν Ἱερέων.

Ὦ Θεὲ τῶν ὅλων, σὺ δίδαξόν με ἆσαι, Μαρτύρων τὴν τριάδα· παρὰ τῶν χορῶν·

Ὦ

Ὦ Μάρτυρες Κυρίε, φωτίσατέ με ὅπως, ὑμᾶς ἀνευφημήσω.

Ἅ, γενεαὶ πᾶσαι, Μανυὴλ τὸν μέγαν, δοξολογῆσι πόθῳ·

Ἅ, γενεαὶ πᾶσαι, ἠχήσωμεν τὰς ἄθλας, τῶν Αὐταδέλφων δεῦτε· Ἦ ἀκροσιχ. κατὰ ἀ. β.

Ἄνω συνευφραίνῃ, χοροῖς τῶν Ἀθλοφόρων, ὦ τριὰς Ἀθληφόρε·

Βέλεσιν ἐτρώθης, ὦ Μανυὴλ πολύτλα, ὑπὲρ τῆς εὐσεβείας·

Γένος πιστῶν ἅπαν, αἰνεῖ σε ὁλοψύχως, ὦ Σαβὲλ γενναιόφρον·

Δύναμις τυράννε, ἀδόλως ἠδυνήθη, σὲ Ἰσμαὴλ νικῆσαι·

Ἔπαρον τὰς χεῖρας, πρὸς τὸν Θεὸν πολύτλα, ὑπὲρ τῶν σὲ τιμώντων·

Ζῶσιν ἐν Κυρίῳ, οἱ Δίκαιοι εἰκότως κατὰ τὸν Σολομῶντα·

Ἦσχυνε τὸν λάλον, ἐν μέσῳ τῆ ϛαδίε, ἡ τριὰς Αὐταδέλφων·

Θράκη ἐγκαυχᾶται, ἔχουσα ἐν κόλποις, τὰ τῆς τριάδος Σκήνη·

Κυρίῳ προσεπάγης, καὶ ἥλοις προσεπάρης, τὰς χεῖρας καὶ τὰς πόδας·

Κρύπτει γῆ πρεπόντως, τὰ Σκήνη τῶν Μαρτύρων, ἐφ' ᾧ λαὸς πιστεύει·

Λείψανα Μαρτύρων, εὐχαῖς τῶν Ὀρθοδόξων, ἡ γῆ ὀσμῇ ἐκβάλλει·

Μα-

Μανυὴλ Τρισμάκαρ, τῇ τῆ θανάτῳ ὥρᾳ, σύ μοι γενῆ προσάτης·

Νεῦσον τριὰς Μάρτυς, πρὸς τὰς ἡμῶν δεήσεις, ὡς ὁ Χριστὸς τῆς χήρας·

Ξίφος πῦρ καὶ ἥλους, ἀδαμῶς ἐπτοήθης, αἰκισμὸς καὶ καλάμους·

Ὄρασις Ἀγγέλων, τὰς Μάρτυρας θαῤῥύνει, πρὸς τὰ λοιπὰ τῶν πόνων·

Ῥήσεσιν ἐνθέοις, ἠμβλύνατε τρεῖς Παῖδες, τὰς λήρους τῆ τυράννῳ·

Σαβὲλ, Μανυήλ τε, καὶ Ἰσμαὴλ οἱ Θεῖοι, χαίρετε ἐν Κυρίῳ·

Τὰς Μάρτυρας Κυρίε, τιμήσωμεν ἐνθέως, ἐν τῷ αὐτῶν Τεμένει·

Ὑπὸ τῶν πολλῶν μου, ἁμαρτιῶν προσφεύγω, τῇ σκέπῃ τῶν Μαρτύρων·

Φάνηθί μοι πρέσβυς, τριὰς ἡ Ἀθληφόρος, ἐν ὥρᾳ συντελείας·

Χαίρουσα ἐξέσθης, τὰς σάρκας Μακαρία, βαβαὶ τῆς σῆς ἀνδρίας!

Ψάλλομεν προθύμως, τὰς σὰς Φρικτὰς ἀγῶνας, ὦ τριὰς ἐτησίως·

Ὦ Μανυὴλ πολύτλα, ὑπὲρ σῶν ὁμωνύμων, Ἐμμανυὴλ δυσώπει· Δόξα.

Τρισήλιε Θεέ μου, διὰ τῶν Ἀθλοφόρων, δός μοι πταισμάτων λύσιν· Καὶ νῦν Θεοτοκίον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΤΡΩΝ

Ἡ Θεοτόκος Κόρη, Ἐμμανηὴλ ἡ Μήτερ, τὸν Μανηὴλ σε ζέφει.

Καὶ εὐθὺς τὰ Εὐλογητάρια εἰς ἦχον πλ. ά. ἀργᾶς.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με σὲς Μάρτυρας δοξάσαι.

Τῶν Ἀγγέλων τὰ πλήθη, κατεπλάγησαν ἅμα, τοῖς χοροῖς τῶν Ἀνθρώπων, τῶν Μαρτύρων γὰρ, Χριστὸ διὰ ξίφους τμηθέντων, παραυτίκα γῆ, σώματα ἐνέκρυψε, καὶ ὡς κρῖνα, αὖθις ξένως ἀνέδωκεν.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με, σὲς κήρυκας τιμῆσαι.

Τί ἰκρίῳ, ἰταμῶς τὲς Μάρτυρας, παραβάτα προσπηγνύεις; ἦχ ὁρᾷς δὲ ἐπ' αὐτοῖς τὸν Ἄγγελον, κυφισάμενον τὰς ἀλγηδόνας; ἴδε καὶν αὐτὰ, τὰ ἔθνη πιστεύσαντα, ὅτι Κύριος ἐνεργεῖ τὰ θαυμάσια.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με, τρεῖς Ἀθλοφόρες ἆσαι.

Λίαν θερμῶς, οἱ τρεῖς Πρέσβεις ἔδραμον, πρὸς τὸν Ἄνακτα συμβάσεις πράξαι· ἀλλ' ἐκεῖνος, πρὸς αὐτὲς παράνομα ἐλάλει· παῖδες τῶν Περσῶν, θύσατε θεοῖς ἐμοῖς· οἱ δὲ τρεῖς Ἀθληταὶ, τάτες ἐκωμῴδησαν.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με, τὸν Μανηὴλ αἰνέσαι.

Μυροθήκη Λειψάνε, Μανηὴλ τὰς ἰάσεις, προσερχόμενοι πίσει ἀπαντλᾶμεν· κέκτηται γὰρ, τὴν πηγὴν

γὴν τῶν θαυμάτων, μὴ ἂν ὡς νεκρὸν, τὸν ζῶντα νομίζωμεν· ἐνεργεῖ γὰρ ὁσημέραι τεράσια.

Δόξα Τριαδικὸν.

Προσκυνᾶντες σὺν τρόμῳ, λατρευτῶς ἀνυμνᾶμεν, τὴν Ἁγίαν Τριάδα, μετὰ Θέων Μαρτύρων, ἐν μιᾷ τῇ Οὐσίᾳ, σὺν τοῖς Σεραφὶμ, κράζοντες τὸ Ἅγιος Ἅγιος, Ἅγιος εἶ Κύριε. Καὶ νῦν Θεοτοκίον.

Ζωοδότην τεκοῦσα, Μαριὰμ τῆς γεέννης, τὲς πιστὲς ἐλυτρώσω· Ἀθληταῖς δὲ τὴν Θείαν, ἀρωγὴν σὺ παρέσχες, πάντων παροραῖν, ἅπασι κηρύττειν δὲ, τὸν ἐκ Σοῦ σαρκωθέντα Θεάνθρωπον.

Ἀλληλϊία, Ἀλληλϊία, Ἀλληλϊία, Δόξα σοι ὁ Θεὸς· ἐκ γ'.

Εἶτα Συναπτὴ μικρὰ, καὶ Ἐκφώνησις.

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Ἀνάρχῳ σε Πατρὶ, καὶ τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωοποιῷ σε Πνεύματι, νῦν καὶ ἀεὶ· Καὶ εὐθέως Ἀναγνωσις εἰς τὸ πρὸς τὲς Ἁγίες Ἐγκώμιον.

ΕΘΝΙΚΟΝ ΑΡΧΑΙΟΛΟΓΙΚΟΝ ΜΟΥΣΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Οἶκοι ΚΔ.

Κατὰ Ἀλφάβητον πρὸς τὰς τρεῖς Μεγίστας Ἀθλοφόρους, συντεθέντες τακτικῶς κατὰ τὸν περιληπτικὸν Κατάλογον τῶν ΚΔ. Φρικτῶν Μαρτυρίων τῶν Ἁγίων· Τροπάριον ψαλλόμενον παρ' ἑκατέρων τῶν χορῶν πρὸ τῆς Ἀναγνώσεως ἑκάστης Στάσεως τῶν Οἴκων· ἦχος πλ. δ. πρὸς τὸ, Τὸ προσαχθὲν μυσικῶς.

Ἡ τῶν τριῶν σεβασὴ τριὰς Μαρτύρων,
Οἱ Μανυὴλ καὶ Ἰσμαὴλ, Σαβὲλ τε ἅμα,
Ἀνομώτατον σέβας τὸ τοῖς εἰδώλοις,
Τῷ πάντων ἀθεωτάτῳ Ἰουλιανῷ,
Ἐνθέως ἀπωσαμένη ὑπὲρ Χριςῦ,
Μαρτυρίῳ τετέλεσαι, λαβοῦσα Θείαν ἰσχὺν·
Διὸ πάντες κραυγάζομεν· Χαῖρε τριὰς πολύαθλε.

Κοντάκιον ψαλλόμενον παρ' ἑκατέρων τῶν χορῶν μετὰ τὴν Ἀνάγνωσιν ἑκάστης Στάσεως τῶν Οἴκων· ἦχος πλ. δ. πρὸς τὸ, Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τῶν τῷ τυράννῳ ἀπειλῶν καὶ ὑποσχέσεων,
Καταφρονήσας ἀνδρικῶς σὺ λε ἀκλόνητε,
Σὺν ὁμαίμοσιν ἐνήθλησας Μεγαλόφρον·
Ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον,
Μανυήλ με ἐκ κινδύνων ἐλευθέρωσον·
Γνα κράζω σοι· Χαῖρε Μάρτυς πολύαθλε·

Στά-

Στάσις Α'. ἀναγινωσκομένη παρὰ τῦ Ἱερέως πρὸ τῆς Ἐναρξεως τῶν Κανόνων, προψαλλομένη τῆ Τροπαρίῳ τῶν Οἴκων·

Ἄκτισον τὴν Τριάδα, ἡ τριὰς τῶν Μαρτύρων, σοφῷ Εὐνοϊκῷ μυηθεῖσα, (ἐκ τρίτης·) ἐβαπτίσθη Χριςῷ εὐσεβῶς, τὴν αὐτῆς Μητέρα καλῶς ζηλώσασα· συνέλθωμεν ἂν ἅπαντες, τοιάδε πρὸς αὐτὴν βοῆσαι·

Χαῖρε τριὰς ἡ τὸ ἓν Φρονοῦσα,
Χαῖρε Θεὸν λατρευτῶς προσκυνοῦσα·
Χαῖρε μυηθεῖσα Τριάδα τὴν Ἄκτισον,
Χαῖρε διδαχθεῖσα Μονάδα τὴν Ἄναρχον·
Χαῖρε Μῆτερ ἡ γεννήσασα τὴν τριάδα σαρκικῶς,
Χαῖρε ὅτι ἀνεγέννησε τὴν αὐτὴν Εὐνοϊκὸς·
Χαῖρε τὴν σὴν Μητέρα ὦ τριὰς μιμουμένη,
Χαῖρε Εὐνοϊκῇ τὰς διδαχὰς δεχομένη·
Χαῖρε Σεπτῆς Τριάδος ἰσάριθμε,
Χαῖρε τῆς Θείας Μονάδος πρόμαχε·
Χαῖρε Σαβὲλ, Μανυὴλ, Ἰσμαὴλ τε,
Χαῖρε τριὰς, ἣν πᾶς ἐπικαλεῖται·

Χαῖρε τριὰς πολύαθλε.

Βασιλεῖ τῶν Ῥωμαίων, Ἀλαμούνδαρος πέμπει, σπονδάς σε ὦ τριὰς διαθέσθαι μεταξὺ Ῥωμαίων καὶ Περσῶν· ὁ δὲ ταύτας χαρᾷ ὑποδεξάμενος, ἐφρόνει κατὰ σὲ κενὰ ὁ μάταιος, βοώσης ἔτως, Ἀλληλϊία.

Γέρα Πρέσβεσι δίδως, καὶ προτρέπεις δολίως, ἐσθίειν μετὰ σᾶ ὦ παράφρον· ἀλλὰ ταῦθ' ὡς ἀπόπτυς αὐτοὶ, ἅπαντα ἐδότες, τῷ Θεῷ ἤυχοντο, τῆς σῆς ξυσθῆναι πλάνης παραβάτα, ὃς αἰνῶν κραυγάζω·

Χαῖρε τριὰς τῆς Τριάδος οἶκος,
Χαῖρε τριὰς τῶν Μαρτύρων κλέος·
Χαῖρε τῆς Περσίδος ἀθάνατον βλάσημα,
Χαῖρε καὶ τῆς Θράϊκης ἀκλόνητον ἔρεισμα·
Χαῖρε ὅτι κατεπάτησας τῆ τυράννῳ τὰς τιμὰς,
Χαῖρε ὅτι τὰς τῆ Ἄνακτος ἐβδελύξω δωρεὰς·
Χαῖρε ἡ δεομένη ἐκ τῆς πλάνης ξυσθῆναι,
Χαῖρε ἡ εὐχομένη Θεῷ πᾶντας σωθῆναι·
Χαῖρε ἐκ γῆς τοῖς ἄνω ἀπαίρουσα,
Χαῖρε Θεῷ συνῆσα καὶ χαίρουσα·
Χαῖρε Σαβὲλ, Ἰσμαὴλ, Μανυὴλ τε,
Χαῖρε τριὰς, ἣν πιστὸς πᾶς αἰνεῖ σε·

Χαῖρε τριὰς πολύαθλε.

Δεήσιν τῷ Κυρίῳ, θυόντος τῆ τυράννῳ, ἀνέπεμπον ἰδίᾳ οἱ Πρέσβεις· τοῦτο ἓν καθορῶν ὁ δεινὸς, ἀγαγεῖν αὐτὸς μετ' ὀργῆς ἐκέλευσεν· ὃς ἕλκων τις βιαίως πρὸς θυσίαν, παρ' αὐτῶν ἀκούει, Ἀλληλούϊα.

Ἔχαιρον οἱ τρεῖς Πρέσβεις, παρανόμως ἀχθέντες, εἱρκτῇ τῇ τῆ τυράννῳ κελεύσει· ἀπαγόμενοι δὲ καθ' ὁδὸν, τῷ Κυρίῳ ὕμνους καὶ ᾠδὰς ἔψαλλον· διὸ πιστοὶ προσείπωμεν, τριάδι τῶν Μαρτύρων ἅτω·

Χαῖρε

Χαῖρε τριὰς τῆς Τριάδος κήρυξ,
Χαῖρε τριὰς εὐσεβείας σάλπιγξ·
Χαῖρε τῆς Τριάδος κλεινὸν οἰκητήριον,
Χαῖρε τῆς Τριάδος δοχεῖον ἐπάξιον·
Χαῖρε ὅτι ὁ παράνομος σὲ ἐγκλείει τῇ εἱρκτῇ,
Χαῖρε ὅτι Θεὸν ὕμνησας ἐρχομένη ἐν αὐτῇ·
Χαῖρε ἡ παραβάτα τὰς φωνὰς καταργῆσα,
Χαῖρε ἡ τὰ βραβεῖα τῶν σῶν ἄθλων λαβοῦσα·
Χαῖρε ὀρθῆς λατρείας ὑπέρμαχε,
Χαῖρε ἑλλήνων πλάνης ἀντίπαλε·
Χαῖρε τριὰς Εὐσεβῶν μεσιτεία,
Χαῖρε ἐμῆ ἐξαιρέτως πρεσβεία·

Χαῖρε τριὰς πολύαθλε.

Ζῆλον ἔνθεον σχοῦσα, ἡ τριὰς ἐν ψαδίῳ, ἐκήρυξε τὸν πάντων Δεσπότην· ψηλιτεύσασα δὲ ἀδεῶς τὴν εἰδώλων πλάνην σὺν τῇ τῆ Ἄνακτος, ἐβόα τὴν σωτήριον Ἀγγέλων ὑμνωδίαν ἅτως, Ἀλληλούϊα.

Εἶτα τὸ Κοντάκιον τῶν Οἴκων, καὶ ἀρχόμεθα τῶν Καθίσμων.

Στάσις Β'. ἀναγινωσκομένη παρὰ τῆ ἱερέως πρὸ τῆς ἐνάρξεως τῆς Δ'. ᾠδῆς, προψαλλομένε τῆ Τροπαρίῳ τῶν Οἴκων.

Ἔγραψεν ἐν τῷ κόσμῳ, ὦ τριὰς Ἀθληφόρε, τῶν σῶν λαμπρῶν ἀγώνων τὸ πλῆθος· πληγαῖς γὰρ τῆ ἐχθρῆ ἀνόμως, σὲ ἀμειβομένε ὑπὲρ τῆς πίστεως, ἀκλινῶς πάντα φέρεις Μακαρία· καγὼ ἓν σοὶ κράζω·

Χαῖρε

ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ

Χαῖρε τριὰς ἀθλητικωτάτη,
Χαῖρε τριὰς ἡ γενναιοτάτη·
Χαῖρε τῆς Τριάδος τὸ ἓν ἡ κηρύξασα,
Χαῖρε τὸ Τρισσὸν τῆς Μονάδος διδάξασα·
Χαῖρε ὅτι ἐν τοῖς Τάγμασι τῶν Ἀγγέλων νῦν οἰκεῖς,
Χαῖρε ὅτι καὶ σὺν ἅπασι τοῖς Χοροῖς Θεὸν ὑμνεῖς·
Χαῖρε ἡ ἐν ᾅδῃ ἀδεῶς παρασᾶσα,
Χαῖρε ἡ τὰς αἰκίας καρτερῶς ὑποσᾶσα·
Χαῖρε πληθὺν ἀπίστων αἰσχύνασα,
Χαῖρε χορὸν πιστῶν κατευφράνασα·
Χαῖρε δι' ἧς ὁ Χριστὸς ἐκηρύχθη,
Χαῖρε δι' ἧς παραβάτης ἠττήθη·

Χαῖρε τριὰς πολύαθλε.

Θυμῷ τύραννος γέμων, τῶν ἁγίων Μαρτύρων ἀδώλοις μὴ θελόντων λατρεῦσαι, τάς τε χεῖρας καὶ πόδας αὐτῶν, περονᾶσθαι ἥλοις σκληρῶς ἐκέλευσεν, ἱκρίῳ δὲ προσπήγνυσθαι· ἃ φέροντες, Θεῷ βοῶσιν, Ἀλληλούϊα·

Ἴδες Παῖδας Χαλδαίων, εὑρετὰ τῶν βασάνων, ἀδόλως τὰς ποινὰς πτοσμένως· τί ἂν αὖ κελεύεις αὐτούς, ἀφειδῶς ξυσῆρσι σιδηροῖς ξαίνεσθαι; ὦ ἔνσασις Μαρτύρων! οἷς εὐφήμῳ γλώττῃ λέγω ταῦτα·

Χαῖρε τριὰς ἡ ποινὰς λαβοῦσα,
Χαῖρε δι' ἃς σεφάνων τυχοῦσα·
Χαῖρε ᾠρανίᾳ τρυφῆς ἀπολαύσασα,
Χαῖρε τοὺς πιστοὺς τῶν δεινῶν ἀπαλλάττουσα·

Χαῖρε

Χαῖρε πᾶσαν ἐπινίκιον ᾠδὴν ψάλλουσα Θεῷ,
Χαῖρε συμπαραλαμβάνουσα τοὺς χοροὺς τῶν ἐκλεκτῶν·
Χαῖρε ὅτι ξυσῆρας σιδηροὺς ὑπομένεις,
Χαῖρε ὅτι γενναίως Βασιλέα ἐλέγχεις·
Χαῖρε σεβασμῶν Μαρτύρων διάδοχε,
Χαῖρε τοῖς τούτων ἄθλοις ὁμότροπε·
Χαῖρε δι' ἧς εὐφημεῖται ὁ πλάσης,
Χαῖρε δι' ἧς δυσφημεῖται ὁ πλάνος·

Χαῖρε τριὰς πολύαθλε.

Κρεμαμένη ἱκρίῳ, ἡ τριὰς Αὐταδέλφων, τὸ Θεῖον συλλαβεῖν ἱκετεύει· ἄφνης δ' Ἄγγελος αὐτοῖς φανεὶς, τὰς ὀδύνας τῶν σωμάτων ἐκένωσεν, ἀνδρύνας τὰς λοιπὰς βασάνους φέρειν, καὶ Κυρίῳ ᾄδειν, Ἀλληλούϊα·

Λήρους λέγει ὁ ἄφρων, τῇ Μαρτύρων δυάδι, δολίως Μανιὴλ ἀποσήσας· ἀλλ' ἡ θεία αὐτὴ ξυνωρὶς, τοὺς Θεοὺς αὐτοῦ πανσόφως κατήσχυνεν, ἐνώπιον ἐκείνου· αἰνέσωμεν οὖν ταύτην ἔτω·

Χαῖρε δυὰς τοῦ Θεοῦ ἡ θεία,
Χαῖρε σιγὴ τοῦ ἐχθροῦ τελεία·
Χαῖρε παραβάτου τοὺς δόλους χλευάσασα,
Χαῖρε τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα·
Χαῖρε ὅτι κατεφρόνησας τῶν τυράννου δωρεῶν,
Χαῖρε ὅτι ἐκ ᾠρῴωδησας Βασιλέως τὸν θυμὸν·

ΕΜΠΟΡΙΚΟΝ ΚΑΙ ΝΑΥΤΙΛΙΑΚΟΝ ΜΟΥΣΕΙΟΝ ΕΛΛΑΔΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Χαῖρε τῶν ἐν κινδύνοις ὦ Σαβὲλ παρασάτα,
Χαῖρε τῶν ἐν ἀνάγκαις Ἰσμαὴλ ὦ προσάτα·
Χαῖρε τρανῶς Θεὸν ὡμολόγησας,
Χαῖρε σαρκὸς γενναίως ἠφείδησας·
Χαῖρε δυὰς Ἀθλητῶν ἡ τιμία,
Χαῖρε δυὰς ἡ ἐμὴ προσασία·

Χαῖρε τριὰς πολύαθλε.

Μέλη καταπιμπρῶντω, ταῖς λαμπάσιν ἀσπλάγχνως, Σαβὲλ καὶ Ἰσμαὴλ τῶν Μαρτύρων· ἀλλὰ φέροντες ἕτοι τὸ πῦρ, τῷ Κυρίῳ δόξαν φαιδρῶς ἀνέπεμψαν· ὃς δεῦτε εὐφημήσωμεν ἐν ᾄσμασι, Θεῷ βοῶντες, Ἀλληλεία·

Εἶτ' αὖ τὸ Κοντάκιον τῶν Οἴκων, καὶ ἀρχόμεθα τῆς Δ'. ᾠδῆς.

Στάσις Γ'. ἀναγινωσκομένη παρὰ τῦ Ἱερέως πρὸ τῆς ἐναρξεως τῆς Ζ'. ᾠδῆς, προψάλλομένε αὖθις τῦ Τροπαρίε τῶν Οἴκων.

